qui fideles & iustissimæ Ecclesiæ columnæ erant, ad mortem vsq; acerbam, persequutionē passi sunt. ponamus nobis ante oculos Sanctos Apostolos. Propter æmulationē iniquam, Petrus non vnum aut alterum, sed plures labores sustulit, atque ita martyrium passus in debitum gloriæ locum ascendit. Paulus propter æmulationem in vincula septies coniectus, verberibus cæsus, lapidatus, patientiæ præmium reportavit, & in oriente ac occidente verbi præco factus, illustrem fidei suæ famam sortitus est, in iustitia mundum vniversum instruens, & ad occidentis terminos veniens, & sub Imperatoribus martyriū subiens, sic è mundo migravit, & in locum sanctū abijt, patientiæ summum exemplar existens. Viris istis sanctè vitam instituentibus, magna electorum multitudo aggregata est, qui supplicia multa & tormenta propter æmulationem passi,

παθόντες, ὑπόδειγμα κάλλιστον ἐγένοντο ἐν ἡμῖν. Διὰ ζῆλον διωχθεῖσαι γυναῖκες [Δαναΐδες καὶ Δίρκη] αἰκίσματα δεινὰ καὶ ἀνόσια παθοῦσαι, ἐπὶ τὸν τῆς πίστεως βέβαιον δρόμον κατήντησαν, καὶ ἔλαβον γέρας γενναῖον αἱ ἀσθενεῖς τῷ σώματι. Ζῆλος ἀπηλλοτρίωσεν γαμετὰς ἀνδρῶν, καὶ ἠλλοίωσεν τὸ ῥηθὲν ὑπὸ τοῦ πατρὸς ἡμῶν Ἀδάμ, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. Ζῆλος καὶ ἔρις πόλεις μεγάλας κατέστρεψεν, καὶ ἔθνη μεγάλα ἐξερρίζωσεν. ταῦτα, ἀγαπητοί, οὐ μόνον ὑμᾶς νουθετοῦντες ἐπιστέλλομεν, ἀλλὰ καὶ ἑαυτοὺς ὑπομιμνήσκοντες· ἐν γὰρ τῷ αὐτῷ ἐσμὲν σκάμματι, καὶ ὁ αὐτὸς ἡμῖν ἀγὼν ἐπίκειται· Διὸ ἀπολίπωμεν τὰς κενὰς καὶ ματαίας φροντίδας, καὶ ἔλθωμεν ἐπὶ τὸν εὐκλεῆ καὶ σεμνὸν τῆς ἁγίας κλήσεως ἡμῶν κανόνα·

passi, exemplar optimum inter nos exstiterunt. Propter æmulationem mulieres persequutionẽ passæ [*Danaïdes et Dirce*] postquam gravia & nefanda supplicia sustinuissent, constantẽ fidei cursum consummarunt, & debiles corpore nobile tolerantiæ præmium acceperunt. Æmulatio vxorum animos à maritis abalienavit, & dictum patris nostri Adami mutavit. *Hoc iam os ex ossibus meis, et caro ex carne mea.* Æmulatio & contentio vrbes magnas evertit, & gentes numerosas funditus delevit. Hæc charissimi, non tantùm vt vos officij vestri admoneamus, scribimus; sed vt nos ipsos commonefaciamus, in eodẽ enim stadio versamur, & certamẽ idem nobis impendet: quare inanes & vanas curas relinquamus, & ad gloriosam & venerandam sanctæ vocationis nostræ normam veniamus: Gen.2.23.

Βλέπωμεν τί καλὸν καὶ τί τερπνὸν καὶ προσδεκτὸν ἐνώπιον τοῦ ποιήσαντος ἡμᾶς. Ἀτενίσωμεν εἰς τὸ αἷμα τοῦ Χριστοῦ, καὶ ἴδωμεν ὡς ἔστι τίμιον τῷ Θεῷ αἷμα αὐτοῦ, ὅ,τι διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκχυθὲν, παντὶ τῷ κόσμῳ μετανοίας χάριν ὑπήνεγκεν. Ἀτενίσωμεν εἰς τὰς γενεὰς πάσας, καὶ καταμάθωμεν ὅτι ἐν γενεᾷ καὶ γενεᾷ μετανοίας τόπον ἔδωκεν ὁ δεσπότης τοῖς βουλομένοις ἐπιστραφῆναι ἐπ' αὐτόν. Νῶε ἐκήρυξεν μετάνοιαν, καὶ οἱ ὑπακούσαντες ἐσώθησαν. Ἰωνᾶς Νινευίταις καταστροφὴν ἐκήρυξεν, οἱ δὲ μετανοήσαντες ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν, ἐξιλάσαντο τὸν Θεὸν ἱκετεύσαντες, καὶ ἔλαβον σωτηρίαν, καίπερ ἀλλότριοι τοῦ Θεοῦ ὄντες. Οἱ λειτουργοὶ τῆς χάριτος τοῦ Θεοῦ διὰ πνεύματος ἁγίου περὶ μετανοίας ἐλάλησαν· καὶ αὐτὸς δὲ ὁ δεσπότης

quid pulchrum, quid jucundum, & acceptum coram opifice noſtro ſit, videamus; ſanguinem Chriſti intentis oculis intueamur, & quàm pretioſus Deo ſit ejus ſanguis, conſideremus, qui propter noſtram ſalutem effuſus, toti mundo pœnitentiæ gratiam obtulit. Circumſpiciamus diligẽter omnes mundi ætates, & diſcamus quod in omni generatione, volentibus ad ipſum converti, Dominus pœnitentiæ locũ conceſſerit. Noë pœnitentiæ præco fuit, & qui ei obtemperarunt, ſaluati ſunt. Ionas Ninivitis excidium prædicauit, illi autem peccatorum pœnitentiam agentes, precibus Deum placarunt, & licèt à Deo alieni, ſalutis participes facti ſunt. Divinæ gratiæ miniſtri Spiritu Sancto afflati, de pœnitentia loquuti ſunt: ipſe etiam

τῶν ἁπάντων περὶ μετανοίας ἐλάλησε μετὰ ὅρκου. Ζῶ γὰρ ἐγὼ λέγει κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν προστιθεὶς καὶ γνώμην ἀγαθήν. Μετανοήσατε οἶκος Ἰσραὴλ ἀπὸ τῆς ἀνομίας ὑμῶν. Εἶπον τοῖς υἱοῖς τοῦ λαοῦ μου, ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ἀπὸ τῆς γῆς ἕως τοῦ οὐρανοῦ, καὶ ἐὰν ὦσι πυρρότεραι κόκκου, καὶ μελανώτεραι σάκκου, καὶ ἐπιστραφῆτε πρός με ἐξ ὅλης τῆς καρδίας, καὶ εἴπητε, Πάτερ, ἐπακούσομαι ὑμῶν ὡς λαῷ ἁγίῳ. Καὶ ἐν ἑτέρῳ τόπῳ λέγει οὕτως, Λούσασθε καὶ καθαροὶ γένεσθε, ἀφέλεσθε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου· παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήρᾳ, καὶ δεῦτε καὶ διαλεχθῶμεν λέγει. Καὶ ἐὰν ὦσιν αἱ ἁμαρ-

rerum omnium Dominus cum juramento de pœnitentia loquutus est. *Vivo, inquit, Dominus, nolo mortem peccatoris, sicut pœnitentiam* addens insuper dictum egregium; *Resipiscite domus Israel ab iniquitate vestra. Dic filijs populi mei, si peccata vestra à terra ad cœlum usque multiplicentur, si cocco rubriora & cilicio nigriora fuerint, & ad me ex toto corde conversi fueritis & dixeritis, Pater, tanquam populo sancto aurem vobis prœbebo.* Et in alio loco, sic dicit; *Lavamini, mundi estote, auferte mala ex animabus vestris ab oculis meis, quiescite à malitijs vestris. Discite facere bonum, quærite judicium, liberate oppressum, judicate pupillo, et justificate viduã. Et venite colloquamur dicit Dominus*

Ezek. 33. 11.

Es. 1. 16.

τίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ· καὶ ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. Πάντας οὖν τοὺς ἀγαπητοὺς αὐτοῦ βουλόμενος μετανοίας μετασχεῖν, ἐστήριξεν τῷ παντοκρατορικῷ βουλήματι αὐτοῦ. Διὸ ὑπακούσωμεν τῇ μεγαλοπρεπεῖ καὶ ἐνδόξῳ βουλήσει αὐτοῦ, καὶ ἱκέται γενόμενοι τοῦ ἐλέους καὶ τῆς χρηστότητος αὐτοῦ, προσπέσωμεν καὶ ἐπιστρέψωμεν ἐπὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ, ἀπολιπόντες τὴν ματαιοπονίαν, τήν τε ἔριν, καὶ * τὸ εἰς θάνατον * ἄγον ζῆλος. Ἀτενίσωμεν εἰς τοὺς τελείως λειτουργήσαντας τῇ μεγαλοπρεπεῖ δόξῃ αὐτοῦ. Λάβωμεν Ἐνώχ, ὃς ἐν ὑπακοῇ δίκαιος εὑρεθεὶς μετετέθη, καὶ οὐχ εὑρέθη αὐτοῦ θάνατος. Νῶε πιστὸς εὑρε-

ἴσ. τὴν. ἴσ. ἄγοντα ζῆλον.

et si fuerint peccata vestra quasi phœnicium, sicut nivem dealbabo, et si fuerint vt coccinium, sicut lanam dealbabo. Et si volueritis et audieritis me, bona terræ comedetis; si autem nolueritis, neque exaudiveritis me, gladius devorabit vos: os enim Domini loquutum est hæc. Volens igitur omnes dilectos suos pœnitentię participes fieri, omnipotente suâ voluntate stabilivit: quare magnificę ejus & gloriosæ voluntati obsequamur, & suppliciter misericordiam & benignitatem ejus implorantes, relictis vanis operibus, contentione & æmulatione, quæ ad mortem ducit, ad miserationes ejus aduoluamur & conuertamur. Fixis oculis intueamur eos qui magnificæ ejus gloriæ perfectè inseruierunt: sumamus Enoch, qui in obedientia justus repertus, translatus fuit, neque mors ejus deprehensa est. Noë fidelis inven-

θεὶς, διὰ τῆς λειτουργίας αὐτοῦ παλιγγενεσίαν κόσμῳ ἐκήρυξεν, καὶ διέσωσεν δι' αὐτοῦ ὁ δεσπότης τὰ εἰσελθόντα ἐν ὁμονοίᾳ ζῶα εἰς τὴν κιβωτόν. Ἀβραὰμ ὁ φίλος προσαγορευθεὶς, πιστὸς εὑρέθη, ἐν τῷ αὐτὸν ὑπήκοον γενέσθαι τοῖς ῥήμασι τοῦ Θεοῦ· οὗτος δι' ὑπακοῆς ἐξῆλθεν ἐκ τῆς γῆς αὐτοῦ, καὶ ἐκ τῆς συγγενείας αὐτοῦ, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ, ὅπως γῆν ὀλίγην, καὶ συγγένειαν ἀσθενῆ, καὶ οἶκον μικρὸν καταλιπὼν, κληρονομήσῃ τὰς ἐπαγγελίας τοῦ Θεοῦ. λέγει γὰρ αὐτῷ. Ἄπελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, εἰς τὴν γῆν ἣν ἄν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος. καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ καταράσομαι τοὺς καταρωμένους σε, καὶ εὐλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.

inuentus, per ministerium suum nouam mundo generationem prædicauit, & per eum animalia quæ in concordia arcam sunt ingressa, seruauit Dominus. Abraham amicus vocatus, fidelis inuentus est, eo quod verbis Dei obtemperarit; hic per obedientiam è terra suâ, è cognatione suâ, & domo patris sui egressus est, vt exigua terra, cognatione debili, & domu paruâ derelictâ, promissiones Dei possideret. Dicit enim ei, *Exi de terra tua, & de cognatione tuâ, & de domo patris tui, & vade in terram quam tibi demonstravero. Et faciam te in gentem magnam, & benedicam te, & magnificabo nomen tuum, & eris benedictus; & benedicam benedicentes te, & maledicam maledicentes te, & benedicentur in te omnes tribus terræ.* Gen. 12. 1.

Καὶ πάλιν ἐν τῷ διαχωρισθῆναι αὐτὸν ἀπὸ Λὼτ, Εἶπεν αὐτῷ ὁ Θεὸς, Ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου, ἴδε ἀπὸ τοῦ τόπου οὗ νῦν σὺ εἶ πρὸς βορρᾶν, καὶ λίβα, καὶ ἀνατολὰς, καὶ θάλασσαν· ὅτι πᾶσαν τὴν γῆν ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματι σου, ἕως αἰῶνος· καὶ ποιήσω τὸ σπέρμα σου ὡς τὴν ἄμμον τῆς γῆς· Εἰ δύναταί τις ἐξαριθμῆσαι τὴν ἄμμον τῆς γῆς, καὶ τὸ σπέρμα σου ἐξαριθμηθήσεται. Καὶ πάλιν λέγει· Ἐξήγαγεν ὁ Θεὸς τὸν Ἀβραὰμ, καὶ Εἶπεν αὐτῷ· Ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ ἀρίθμησον τοὺς ἀστέρας εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτοὺς, οὕτως ἔσται τὸ σπέρμα σου. Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Διὰ πίστιν καὶ φιλοξενίαν ἐδόθη αὐτῷ υἱὸς ἐν γήρᾳ, καὶ δι' ὑπακοῆς προσήνεγκεν αὐτὸν θυσίαν τῷ Θεῷ πρὸς ἓν τῶν ὀρέων ὧν ἔδειξεν αὐτῷ.

Et rurſus cùm à Lot ſecederet, dixit ei Deus. *Reſpice oculis tuis, et vide à loco in quo nunc tu es, ad Aquilonem, et Africum, et orientem et mare : quia omnem terram quam tu vides tibi dabo eam, et ſemini tuo vſque in ſeculum. Et faciam ſemen tuum ſicut arenam terræ, ſi poterit aliquis dinumerare arenam terræ, et ſemen tuum dinumerabitur.* Gen.13.14. Et rurſus dicit · *Eduxit Deus Abraham foras, et dixit ei, reſpice in cælum et numera ſtellas, ſi potes dinumerare eas, ſic erit ſemen tuum : Et credidit Abraham Deo, et deputatum eſt ei ad iuſtitiam.* Gen.15.5. Propter fidem & hoſpitalitatem datus eſt ei filius in ſenectute, & per obedientiam obtulit eum in ſacrificium Deo

τῷ. Διὰ φιλοξενίαν καὶ εὐσέβειαν Λὼτ ἐσώθη ἐκ Σοδόμων, τῆς περιχώρου πάσης κριθείσης διὰ πυρὸς καὶ θείου· πρόδηλον ποιήσας ὁ δεσπότης ὅτι τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν οὐκ ἐγκαταλείπει, τοὺς δὲ ἑτεροκλινεῖς ὑπάρχοντας εἰς κόλασιν καὶ αἰκισμὸν
ἴσ. γάρ. τίθησι· συνεξελθούσης* γὰρ αὐτῷ τῆς γυναικὸς ἑτερογνώμονος ὑπαρχούσης καὶ οὐκ ἐν ὁμονοίᾳ, εἰς τοῦτο σημεῖον ἐτέθη, ὥστε γενέσθαι αὐτὴν στήλην ἁλὸς ἕως τῆς ἡμέρας ταύτης· εἰς τὸ γνωστὸν εἶναι πᾶσιν, ὅτι οἱ δίψυχοι καὶ οἱ διστάζοντες περὶ τῆς τοῦ Θεοῦ δυνάμεως, εἰς κρῖμα καὶ εἰς σημείωσιν πάσαις ταῖς γενεαῖς γίνονται. Διὰ πίστιν καὶ φιλοξενίαν ἐσώθη Ραὰβ ἡ πόρνη· ἐκπεμφθέντων γὰρ ὑπὸ Ἰησοῦ τοῦ Ναυῆ κατασκόπων εἰς τὴν Ἱεριχῶ, ἔγνω ὁ βασιλεὺς τῆς γῆς ὅτι ἥκασι κατασκοπεῦσαι τὴν χώραν αὐτῶν, καὶ ἐξέπεμψεν

in vno montium quem ei ostenderat. Propter hospitalitatem & pietatem Lot, è Sodoma salvus evasit, cùm regio tota in circuitu igne & sulphure conflagraret. Deo palàm faciente quòd eos non derelinquat, qui in eo spem & præsidium collocant ; contrà verò qui à mandatis ejus declinant, supplicijs & tormentis puniat: vxor enim ejus quę vnà cum eo vrbe egressa est, cùm ab eo dissentiret, nec in concordia persisteret, in signum propterea posita est, & salis statua in hodiernum diem facta est, vt omnibus innotesceret, quòd animo dubij, & de potentia divina hæsitantes, in judicium & signum omnibus generationibus proponantur. Propter fidem & hospitalitatem, Raab meretrix incolumis servata est, missis enim à Iosua filio Nun ad vrbem Iericho speculatoribus, rescivit terræ Rex quòd regionem eorum exploraturi venerant,

&

ἄνδρας τοὺς συλληψομένους αὐτοὺς, ὅπως συλληφθέντες θανατωθῶσιν. Ἡ οὖν φιλόξενος Ῥαὰβ εἰσδεξαμένη αὐτοὺς, ἔκρυψεν εἰς τὸ ὑπερῷον ὑπὸ τὴν λινοκαλάμην· ἐπισταθέντων δὲ τῶν παρὰ τοῦ βασιλέως, καὶ λεγόντων, ἄνδρες πρὸς σε ἦλθον οἱ κατάσκοποι τῆς γῆς ἡμῶν, ἐξάγαγε αὐτοὺς, ὁ γὰρ βασιλεὺς οὕτως κελεύει· Ἡ δὲ ἀπεκρίθη, εἰσῆλθον οἱ δύο ἄνδρες οὓς ζητεῖτε πρὸς με, ἀλλὰ ταχέως ἀπῆλθον, καὶ πορεύονται τὴν ὁδὸν ὑποδεικνύουσα αὐτοῖς ἐναντίαν· Καὶ εἶπεν πρὸς τοὺς ἄνδρας, γινώσκουσα γινώσκω ἐγὼ, ὅτι κύριος ὁ Θεὸς ὑμῶν παραδίδωσιν ὑμῖν τὴν πόλιν ταύτην, ὁ γὰρ φόβος καὶ τρόμος ὑμῶν ἐπέπεσεν τοῖς κατοικοῦσιν αὐτήν· ὡς ἐὰν οὖν γένηται λαβεῖν αὐτὴν ὑμᾶς, διασώσατέ με, καὶ τὸν οἶκον τοῦ πατρός μου. Καὶ εἶπον αὐτῇ, ἔσται οὕτως, ὡς ἐλάλησας ἡμῖν· ὡς ἐὰν οὖν γνῷς παραγινομένους ἡμᾶς, συνάξεις πάντας τοὺς,

& viros emisit, qui eos vt morti traderentur, apprehenderent. Raab autem hospitalis suscipiens eos in solario domus sub lini stipula occultavit eos. Cùm autem nuntij Regis ex improviso superuenissent, & dixissent, viri ad te ingressi sunt, regionis nostræ exploratores, educ eos, sic enim imperat Rex. Illa autem respondit, ingressi sunt duo viri ad me quos quæritis, sed confestim abierunt & vadunt; viam ostendens eis contrariam. Et dixit ad viros, sciens scio, quòd Dominus Deus vester vrbem hanc vobis tradit, timor enim & pauor vestri incessit incolas ejus; quare cùm capere illam vobis contigerit, incolumem me servate & domum patris mei. Et dixerunt ei, eueniet tibi vt loquuta es, quare cùm nos appropinquantes cognoue-

τοὺς σοὺς ὑπὸ τὸ στέγος σου, καὶ διασωθήσονται· ὅσοι γὰρ ἐὰν εὑρεθῶσιν ἔξω τῆς οἰκίας, ἀπολοῦνται· Καὶ προσέθεντο αὐτῇ δοῦναι σημεῖον, ὅπως κρεμάσῃ ἐκ τοῦ οἴκου αὐτῆς κόκκινον, πρόδηλον ποιοῦντες, ὅτι διὰ τοῦ αἵματος τοῦ κυρίου λύτρωσις ἔσται πᾶσι τοῖς πιστεύουσιν καὶ ἐλπίζουσιν ἐπὶ τὸν Θεόν. Ὁρᾶτε ἀγαπητοί, οὐ μόνον πίστις ἀλλὰ προφητεία ἐν τῇ γυναικὶ γέγονεν· ταπεινοφρονήσωμεν οὖν, ἀδελφοί, ἀποθέμενοι πᾶσαν ἀλαζονείαν, καὶ τῦφον, καὶ ἀφροσύνην, καὶ ὀργάς· καὶ ποιήσωμεν τὸ γεγραμμένον· λέγει γὰρ τὸ πνεῦμα τὸ ἅγιον, Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, μηδὲ ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, μηδὲ ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ· ἀλλ' ὁ καυχώμενος, ἐν κυρίῳ καυχάσθω, τοῦ ἐκζητεῖν αὐτόν, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην· μάλιστα μεμνημένοι τῶν λόγων τοῦ

ris cognatos tuos omnes sub tecto tuo congregabis, & salvabuntur; quotquot verò extra domum tuam invenientur, peribunt: & vt signum daret addiderunt, vt funiculum sc. coccineum de domus pariete demitteret, notum facientes, quòd omnibus, qui credunt & sperant in Deum, per sanguinem Christi redemptio futura sit. Videtis, dilecti, non solùm fides, sed divinandi facultas etiam in muliere fuit. Humiles ergo mente simus, Fratres, fastum omnem, superbiam, amentiam & iras deponentes, & quod scriptum est, faciamus. Dicit enim Spiritus Sanctus, *Non glorietur sapiens in sapientia sua, & non glorietur fortis in fortitudine sua, & non glorietur dives in divitijs suis; sed qui gloriatur in Domino glorietur, quærendo illum, & iudicium & institiam faciendo* : memoria præcipuè recolentes sermones Ier. 9. 23.

Domini

κυρίου Ἰησοῦ, οὓς ἐλάλησε δι-
δάσκων ἐπιείκειαν καὶ μακροθυ-
μίαν, οὕτως γὰρ εἶπεν, Ἐλεεῖτε
ἵνα ἐλεηθῆτε, ἀφίετε ἵνα ἀφεθῇ
ὑμῖν, ὡς ποιεῖτε, οὕτω ποιηθήσε[ται]
ὑμῖν, ὡς δίδοτε οὕτω δοθήσε[ται] ὑ-
μῖν, ὡς κρίνετε οὕτω κριθήσεται
ὑμῖν, ὡς χρηστεύεσθε οὕτως χρη-
στευθήσεται ὑμῖν· ᾧ μέτρῳ με-
τρεῖτε ἐν αὐτῷ μετρηθήσεται
ὑμῖν. Ταύτῃ τῇ ἐντολῇ καὶ τοῖς
παραγγέλμασι στηρίξωμεν ἑαυ-
τοὺς τὸ πορεύεσθαι ὑπηκόους
ἀεὶ τοῖς ἁγιοπρεπέσι λόγοις
ἴσ. ταπεινοφρονοῦντες αὐτοῦ * ταπεινοφρονοῦντες· φησὶν
γὰρ ὁ ἅγιος λόγος, Ἐπὶ τίνα ἐπι-
βλέψω ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον
καὶ ἡσύχιον καὶ τρέμοντά μου τὰ
λόγια; Δίκαιον οὖν καὶ ὅσιον, ἄν-
δρες ἀδελφοί, ὑπηκόους ἡμᾶς
μᾶλλον γενέσθαι τῷ Θεῷ, ἢ τοῖς
ἐν ἀλαζονείᾳ καὶ ἀκαταστασίᾳ
μυσαροῦ ζήλου ἀρχηγοῖς ἐξακο-
λουθεῖν· βλάβην γὰρ οὐ τυχοῦσαν,
μᾶλλον δὲ κίνδυνον ὑποίσομεν
μέγαν, ἐὰν ῥιψοκινδύνως ἐπι-

Domini Iesu, quos, æquitatem & longanimitatem docens, loquutus est: sic enim dixit, *Misereminí vt misericordiam consequamini, demittite vt vobis demittatur, prout facitis ita vobis fiet, sicut datis ita vobis retribuetur, sicut judicatis, ita judicabimini, sicut benigni estis, ita benignitatem experiemini, quâ mensurâ metimini, eâdem vobis mensurabitur.* Luc. 6.36 Hoc præcepto & his mandatis stabiliamus nos ipsos, vt in obedientia sanctorũ eloquiorũ ejus, cum omni humilitate, semper ambulemus. Dicit enim verbum sanctum. *Super quem respiciam, nisi super humilem et quietum, & trementem sermones meos?* Es. 66.2 Iustum igitur & pium est, Viri fratres, Deo potius obediẽtes nos esse, quàm in superbia & turbulentia, detestandæ æmulationis duces & authores, sequi; si enim omni periculi timore abjecto voluntatibus hominũ nos

δῶμεν ἑαυτοὺς τοῖς θελήμασι τῶν ἀνθρώπων, οἵτινες ἐξακοντίζουσιν εἰς ἔριν καὶ στάσεις, εἰς τὸ ἀπαλλοτριῶσαι ἡμᾶς τοῦ καλῶς ἔχοντος. Χρηστευσώμεθα * αὐτοῖς κατὰ τὴν εὐσπλαγχνίαν καὶ γλυκύτητα τοῦ ποιήσαντος ἡμᾶς· γέγραπται γάρ, Χρηστοὶ ἔσονται οἰκήτορες γῆς, ἄκακοι δὲ ὑπολειφθήσονται ἐπ' αὐτῆς· οἱ δὲ παρανομοῦντες ἐξολοθρευθήσονται ἀπ' αὐτῆς· καὶ πάλιν λέγει, Εἶδον ἀσεβῆ ὑπερυψούμενον, καὶ αἰρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐξεζήτησα τὸν τόπον αὐτοῦ, καὶ οὐχ εὗρον. Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐθύτητα, ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ. Τοίνυν κολληθῶμεν τοῖς μετ' εὐσεβείας εἰρηνεύουσιν, καὶ μὴ τοῖς μεθ' ὑποκρίσεως βουλομένοις εἰρήνην· λέγει γάρ που, Οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω

ἴσ. ἀλλήλοις.

tradiderimus, qui ad contentionem & seditiones acuunt & exstimulant, vt ab eo quod rectum & bonum est alienos nos reddant, non leve damnum, immò potiùs graue periculum subibimus. Benigni erga nos invicem simus, secundùm misericordiam & dulcedinem Creatoris nostri: scriptum enim est, *Benigni incolæ erunt terræ, innocentes relinquentur in ea; impij verò & legum violatores disperibunt ab ea.* Et rursus dicit, *Vidi impium superexaltatum & elevatum sicut cedros Libani: et transivi, & ecce non erat, et quæsivi eum, & non est inventus locus eius. Custodi innocentiam, et vide æquitatem, quoniam sunt reliquiæ homini pacifico.* Iungamur itaque amoris glutino eis qui cum pietate tranquillè vivunt, non autem eis qui fictâ simulatione pacem colunt: dicit enim alicubi, *Populus hic labijs me honorat, cor autem eorum longè*

Psal. 37. 9. & Prov. 2. 20.

Psal. 37. 36.

Es. 29. 13.

ἄπεστιν ἀπ' ἐμοῦ. καὶ πάλιν, Τῷ στόματι αὐτῶν εὐλόγουν, τῇ δὲ καρδίᾳ κατηρῶντο· καὶ πάλιν λέγει, Ἠγάπησαν αὐτὸν τῷ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτόν, ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. *Ἀλλὰ γενηθήτω τὰ χείλη τὰ δόλια *γλῶσσαι μεγαλορήμονα, τοὺς εἰπόντας, τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι, τίς ἡμῶν κύριος ἐστιν, ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ ἀπὸ τοῦ στεναγμοῦ τῶν πενήτων· νῦν ἀναστήσομαι λέγει κύριος, θήσομαι ἐν σωτηρίᾳ, παρρησιάσομαι ἐν αὐτῷ. Ταπεινοφρονούντων γάρ ἐστιν ὁ Χριστός, οὐκ ἐπαιρομένων ἐπὶ τὸ ποίμνιον αὐτοῦ. τὸ σκῆπτρον τῆς μεγαλωσύνης τοῦ Θεοῦ ὁ κύριος ἡμῶν Χριστὸς Ἰησοῦς οὐκ ἦλθεν ἐν κόμπῳ ἀλαζονείας, οὐδὲ ὑπερηφανίας, καίπερ δυνάμενος, ἀλλὰ ταπεινοφρονῶν, καθὼς τὸ πνεῦμα τὸ ἅγιον

περὶ

Ισ. ἄλαλα. Ισ. καὶ ἐξολοθρεύσαι κύριος πάντα τὰ χείλη τὰ δόλια, καὶ

abest à me. Et rursus, *Ore suo benedicebant, et corde suo maledicebant.* Et rursus dicit, *Dilexerunt eum in ore suo, et linguâ suâ mentiti sunt ei. Cor autem eorũ non rectũ cum eo, nec fideles habiti sunt in testamento. Labia fraudulenta obmutescant, & disperdat Dominus universa labia dolosa, et linguam magniloquam; qui dixerunt, linguam nostram magnificabimus, labia nostra à nobis sunt, quis noster Dominus est? propter miseriam inopum, et gemitum pauperum, nunc exurgam dicit Dominus: ponam in salutari, fiducialiter agam in eo.* Christus enim eorum est, qui humiliter se gerunt, non qui cum fastu & arrogantiâ supra ejus gregem efferuntur. Sceptrum magnificentiæ Dei, Dominus noster Iesus Christus, non venit in jactantia superbiæ & arrogantiæ quamvis potuerit; sed in humilitate, prout

Psal. 62.4. Psal. 78. 36. Psal. 12. 3.

περὶ αὐτοῦ ἐλάλησεν· φησὶ γάρ,
Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡ-
μῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπε-
καλύφθη; ἀνηγγείλαμεν ἐναντίον
αὐτοῦ ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ
διψώσῃ· οὐκ ἔστιν εἶδος αὐτῷ,
οὐδὲ δόξα· καὶ εἴδομεν αὐτὸν καὶ
οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος,
ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον,
ἐκλεῖπον παρὰ τὸ εἶδος τῶν
ἀνθρώπων· ἄνθρωπος ἐν πλη-
γῇ ὢν καὶ πόνῳ, καὶ εἰδὼς φέρειν
μαλακίαν, ὅτι ἀπέστραπται τὸ
πρόσωπον αὐτοῦ· ἠτιμάσθη καὶ
οὐκ ἐλογίσθη. Οὗτος τὰς ἁμαρ-
τίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀ-
δυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐ-
τὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ καὶ
ἐν κακώσει· αὐτὸς δὲ ἐτραυματί-
σθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ
μεμαλάκισται διὰ τὰς ἀνομίας
ἡμῶν. Παιδεία εἰρήνης ἡμῶν
ἐπ' αὐτόν. τῷ μώλωπι αὐτοῦ ἡμεῖς
ἰάθημεν· πάντες ὡς πρόβατα
ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ κύ-

Spiritus sanctus de eo lo-
quutus est, dicit enim,
Domine quis credidit au- Esa:53.1.
ditui nostro? et brachium
Domini cui revelatum
est? Annunciavimus qua-
si parvulum in conspectu
eius; sicut radix in terra
sitienti: non est species
ei neque gloria, & vidi-
mus eum, & non habebat
speciem, neq; decorem; sed
species eius inhonorata, &
deficiens præ filijs homi-
num. Homo in plaga posi-
tus, & sciens ferre infir-
mitatem; quia aversa est
facies eius, despecta, & non
reputata. Iste peccata no-
stra portat, & pro nobis do-
let; & nos reputavimus eũ
esse in labore, et in plaga, &
in afflictione. Ipse autem
vulneratus est propter pec-
cata nostra, & infirmatus
est propter iniquitates no-
stras. Disciplina pacis no-
stræ super eum, livore e-
ius nos sanati sumus. Om-
nes quasi oves erravimus,
homo in via sua erravit; et

ειος παρέδωκεν αὐτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. Καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἥκει εἰς θάνατον· καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς. ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον. Καὶ κύριος βούλεται ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς· καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει· διὰ τοῦτο

& Dominus tradidit eum propter iniquitates nostras, & ipse propter afflictionem non aperit os suum. Sicut ovis ad victimam ductus est, & sicut agnus coram tondente mutus, sic non aperit os. In humilitate iudicium eius sublatum est; generationem eius quis enarrabit? Quia tollitur de terra vita eius, ab iniquitatibus populi mei ductus est ad mortem. Et dabo pessimos pro sepultura eius, & divites pro morte illius: quia iniquitatem non fecit, neq; dolum in ore suo; & Dominus vult mundare eum à plaga. Si dederitis pro peccato, anima vestra videbit semen longævum. Et vult Dominus auferre de dolore animam eius, ostendere ei lucem, & formare intelligentiam, iustificare iustum bene servientem multis. & peccata eorum ipse portabit. Propterea ipse possidebit mul-

αὐτὸς κληρονομήσει πολλοὺς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα· ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ τοῖς ἀνόμοις ἐλογίσθη· καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθη. Καὶ πάλιν αὐτός φησιν, Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος· ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ. πάντες οἱ θεωροῦντές με, ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. Ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν. Ὁρᾶτε, ἄνδρες ἀγαπητοὶ, τίς ὁ ὑπογραμμὸς ὁ δεδομένος ἡμῖν· εἰ γὰρ ὁ κύριος οὕτως ἐταπεινοφρόνησε, τί ποιήσωμεν ἡμεῖς οἱ ὑπὸ τὸν ζυγὸν τῆς χάριτος αὐτοῦ * ἐλθόντος; μιμηταὶ γινώμεθα κἀκείνων, οἵτινες ἐν δέρμασιν αἰγείοις, καὶ μηλωταῖς περιεπάτησαν, κηρύσσοντες τὴν ἔλευσιν τοῦ Χριστοῦ· λέγομεν δὲ Ἠλίαν καὶ Ἐλισαῖον, ἔτι δὲ καὶ Ἰεζεκιὴλ τοὺς προφήτας· πρὸς τούτοις καὶ τοὺς μεμαρτυρημέ-

ἴσ. ἐλθόντες.

tos, et fortium dividet spolia, pro eo quod tradita est ad mortem anima eius, et in iniquis reputatus est: et ipse peccata multorum tulit, et propter iniquitates eorum traditus est, & rursus idem dicit, *Ego autem sum vermis et non homo, opprobrium hominum, et abiectio plebis. Omnes videntes me, deriserunt me, loquuti sunt labiis, moverunt caput. Speravit in Domino, eripiat eum, salvum faciat eum, quoniam vult eum.* Psal. 22. 6. Videtis, Viri dilecti, quale nobis exemplar sit propositum; si enim Dominus ita se humiliavit, quid faciemus nos, qui sub iugum eius gratiæ per ipsum venimus. Imitatores simus eorum qui in caprinis & ovinis pellibus adventum Christi prædicantes circumierunt, Eliā dicimus, & Elizæum, & Ezechielem prophetas, & cum his, eos qui præclarum testimonium consequuti

sunt

τυς ἐμαρτυρήθη μεγάλως Ἀβραάμ, καὶ φίλος προσηγορεύθη τοῦ Θεοῦ, καὶ λέγει ἀτενίζων εἰς τὴν δόξαν τοῦ Θεοῦ ταπεινοφρονῶν, Ἐγὼ δὲ εἰμὶ γῆ καὶ σποδός. Ἔτι δὲ καὶ περὶ Ἰὼβ οὕτω γέγραπται, Ἰὼβ ἦν δίκαιος καὶ ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ. ἀλλ' αὐτὸς ἑαυτοῦ κατηγορῶν λέγει, οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου οὐδ' εἰ μιᾶς ἡμέρας ἡ ζωὴ αὐτοῦ. Μωϋσῆς πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ἐκλήθη, καὶ διὰ τῆς προστασίας αὐτοῦ ἔκρινεν ὁ Θεὸς ῥύσασθαι τὸν Ἰσραὴλ ἀπὸ τῶν μαστίγων καὶ τῶν αἰκισμάτων αὐτῶν, ἀλλὰ κἀκεῖνος δοξασθεὶς μεγάλως οὐκ ἐμεγαλορρημόνησεν· ἀλλ' εἶπεν ἐκ τῆς βάτου χρηματισμοῦ αὐτῷ διδομένου. Τίς εἰμι ἐγώ, ὅτι με πέμπεις, ἐγὼ δὲ εἰμὶ ἰσχνόφωνος καὶ βραδύγλωσσος. καὶ πάλιν λέγει, Ἐγὼ δὲ εἰμὶ ἀτμὶς ἀπὸ χύτρας. Τί δ' εἴπωμεν ἐπὶ τῷ μεμαρτυρημένῳ Δαβίδ, πρὸς ὃν εἶπεν ὁ Θεός,

sunt. Abraham elogio insigni ornatus fuit, & amicus Dei vocatus fuit, qui gloriam Dei defixis oculis aspiciens in humilitate dixit. *Ego autem sum terra et cinis.* Gen.18.27 Præterea & de Iobo sic scriptum est, *Iob erat iustus, sine crimine, verax, colens Deum, abstinens ab omni mala re.* Iob.1.1. sed ille seipsum accusans dicit, *Nemo mundus à sorde, etsi vita eius vnius diei fuerit.* Iob.14.4. Moses fidelis in tota eius domo vocatus est, & per eius præfecturam voluit Dominus à plagis & supplicijs liberare populum Israeliticum; verùm ille honore magno affectus, non est grandia locutus, sed cum ex rubo oraculum diuinum ei datum fuisset, *Quis sum ego dixit, vt me mittas? gracili voce, et tarda lingua ego sum.* Et rursus dicit, *Ego sum ollæ vapor.* Quid autem de Davide, qui egregium testimonium obtinuit, dicemus; de quo loquutus est Deus,

Εὗρον ἄνδρα κατὰ τὴν καρδίαν
μου, Δαβὶδ τὸν τοῦ Ιεσσαὶ, ἐν
ἐλαίῳ αἰωνίῳ ἔχρισα αὐτόν.
Ἀλλὰ καὶ αὐτὸς λέγει πρὸς τὸν
Θεόν. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ
μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος
τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ
ἀνόμημά μου· ἐπὶ πλεῖον πλῦνόν
με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς
ἁμαρτίας μου καθάρισόν με.
ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώ-
σκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν
μου ἐστὶ διὰ παντός· σοὶ μόνῳ ἥ-
μαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου
ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν
τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ
κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομί-
αις συνελήφθην, καὶ ἐν ἁμαρτί-
αις ἐκίσσησέ με ἡ μήτηρ μου·
ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ
ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας
σου ἐδήλωσάς μοι· ῥαντιεῖς με
ὑσσώπῳ, καὶ καθαρισθήσομαι·
πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευ-
κανθήσομαι. ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιά-

Deus, *Inveni hominem secundùm cor meum Davidem Iesse filium, in oleo sempiterno vnxi eum.* Ipse vero dicit ad Deum. *Miserere mei Deus secundùm magnam misericordiam tuam, et secundùm multitudinem miserationum tuarum dele iniquitatem meam. Amplius lava me ab iniquitate mea, et à peccato meo munda me: quoniam iniquitatem meam ego cognosco, et peccatum meum coram me est semper. Tibi soli peccaui, et malum coram te feci, vt iustificeris in sermonibus tuis, et vincas cum iudicaris. Ecce enim in iniquitatibus conceptus sum, et in peccatis concepit me mater mea. Ecce enim veritatem dilexisti, incerta et occulta sapientiæ tuæ manifestasti mihi. Asperges me hyssopo, et mundabor, lavabis me, et super nivem dealbabor. Auditui meo dabis gaudi-*

F

um

σεται ὀστᾶ τεταπεινωμένα. ἀπό-
στρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν
ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνο-
μίας μου ἐξάλειψον. καρδίαν κα-
θαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ
πνεῦμα εὐθὺ ἐγκαίνισον ἐν τοῖς
ἐγκάτοις μου. μὴ ἀπορρίψῃς με
ἀπὸ προσώπου σου, καὶ τὸ πνεῦ-
μα τὸ ἅγιον σου μὴ ἀντανέλῃς
ἀπ' ἐμοῦ. ἀπόδος μοι τὴν ἀγαλ-
λίασιν τοῦ σωτηρίου σου. καὶ πνεύ-
ματι ἡγεμονικῷ στήριξόν με. δι-
δάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀ-
σεβεῖς ἐπιστρέψουσιν ἐπὶ σε. ῥῦσαί
με ἐξ αἱμάτων ὁ Θεὸς ὁ Θεὸς τῆς
σωτηρίας μου. ἀγαλλιάσεται ἡ γλῶσ-
σά μου τὴν δικαιοσύνην σου. κύριε,
τὸ στόμα μου ἀνοίξεις, καὶ τὰ χείλη
μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα
ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκή-
σεις. Θυσία τῷ Θεῷ πνεῦμα
συντετριμμένον. καρδίαν συν-
τετριμμένην καὶ τεταπεινωμένην
ὁ Θεὸς οὐκ ἐξουθενώσει. Τῶν τοσούτων οὖν καὶ τοιούτων οὕτως με-

um et lætitiam, exultabunt ossa humiliata. Averte faciem tuam à peccatis meis, et omnes iniquitates meas dele. Cor mundum crea in me Deus, et spiritum rectum innova in visceribus meis. Ne proijcias me à facie tua, et spiritum tuum sanctum ne auferas à me. Redde mihi lætitiam salutaris tui, et spiritu principali confirma me. Docebo iniquos vias tuas, et impij ad te convertentur. Libera me de sanguinibus Deus, Deus salutis meæ, exaltabit lingua mea iustitiam tuam. Domine labia mea aperies, et os meum annuntiabit laudem tuam. Quoniam si voluisses sacrificium, dedissem utique, holocaustis non delectaris. Sacrificium Deo spiritus contribulatus, cor contritum, et humiliatum Deus non despiciet. Talium igitur & tantorum, qui tam clarum elogium conse-

quuti

μαρτυρημένων τὸ ταπεινόφρον καὶ τὸ ὑποδεὲς διὰ τῆς ὑπακοῆς, οὐ μόνον ἡμᾶς ἀλλὰ καὶ τὰς πρὸ ἡμῶν γενεάς, βελτίους ἐποίησεν, τούς τε καταδεξαμένους τὰ λόγια αὐτοῦ ἐν φόβῳ καὶ ἀληθείᾳ. Πολλῶν οὖν καὶ μεγάλων καὶ
ἴσ. παραδειγμάτων ἐνδόξων μετειληφότες * πράξεων, ἐπαναδράμωμεν ἐπὶ τὸν ἐξ ἀρχῆς παραδεδομένον ἡμῖν τῆς εἰρήνης σκοπόν· καὶ ἀτενίσωμεν εἰς τὸν πατέρα καὶ κτίστην τοῦ σύμπαντος κόσμου, καὶ τ̃ μεγαλοπρεπέσι καὶ ὑπερβαλλούσαις αὐτοῦ δωρεαῖς τῆς εἰρήνης, εὐεργεσίαις τε κολληθῶμεν· ἴδωμεν αὐτὸν κατὰ διάνοιαν, καὶ ἐμβλέψωμεν τοῖς ὄμμασι τῆς ψυχῆς εἰς τὸ μακρόθυμον αὐτοῦ βούλημα· νοήσωμεν πῶς ἀόργητος ὑπάρχει πρὸς πᾶσαν τὴν κτίσιν αὐτοῦ.
ἴσ. μὴ Οἱ οὐρανοὶ τῇ διοικήσει αὐτοῦ * σαλευόμενοι ἐν εἰρήνῃ ὑποτάσσονται αὐτῷ· ἡμέρα τε καὶ νὺξ τὸν τεταγμένον ὑπ' αὐτοῦ δρόμον δι-

quuti sunt, humilitas & per obedientiam subiectio; non tantum nos, sed & ante nos generationes meliores reddidit, & qui in timore & veritate eius eloquia susceperunt: quare multorum, magnorum, & illustrium exemplarium participes facti, ad pacis scopũ nobis ab initio traditum recurramus, ac totius mundi parentem & creatorem diligenter intueamur, pacisq; eius magnificis & superexcellentibus donis & benefactis firmiter adhæreamus; cogitatione contemplemur eum, et mentis oculis longanimam eius voluntatem intueamur, & quemadmodum tranquillum se præbeat erga omnem creaturam suam, consideremus. Cœli per eius gubernationem inconcussi, in pace illi subijciuntur, dies etiam & nox, nullam alijs remoram facientes, con-

ἴσ. ἀλλήλαις ἐμποδίζουσαι.

ἀνύουσι, μηδὲν ἀλλήλοις * ἐμποδίζοντα. Ἥλιός τε καὶ σελήνη, ἀστέρων τε χοροὶ, κατὰ τὴν διαταγὴν αὐτοῦ ἐν ὁμονοίᾳ δίχα πάσης παρεκβάσεως, ἐξελίσσουσι τοὺς ἐπιτεταγμένους αὐτοῖς ὁρισμούς. Γῆ κυοφοροῦσα, κατὰ τὸ θέλημα αὐτοῦ τοῖς ἰδίοις καιροῖς τὴν πανπληθῆ ἀνθρώποις τε καὶ θηρσὶ, καὶ πᾶσι τοῖς οὖσιν ἐν αὐτῇ ζώοις ἀνατέλλει τροφὴν, μὴ διχοστατοῦσα μηδὲ ἀλλοιοῦσά τι τῶν δεδογματισμένων ὑπ' αὐτοῦ. Ἀβύσσων τε ἀνεξιχνίαστα, καὶ νερτέρων ἀνεκδιήγητα * κρίματα τοῖς αὐτοῖς συνέχεται προστάγμασι. Τὸ κύτος τῆς ἀπείρου θαλάσσης κατὰ τὴν δημιουργίαν αὐτοῦ συσταθὲν εἰς τὰς συναγωγὰς, οὐ παρεκβαίνει τὰ περιτεθειμένα αὐτῇ κλεῖθρα, ἀλλὰ καθὼς διέταξεν αὐτῇ, οὕτως ποιεῖ. Εἶπεν γὰρ, Ἕως ὧδε ἥξεις, καὶ τὰ κύματά σου ἐν σοὶ συντελεσθήσεται. ὠκεανὸς ἀνθρώποις * ἀπέραντος, καὶ οἱ μετ' αὐτὸν

ἴσ. κύματα.

ἴσ. ἀπέρατος.

ſtitutum ab eo curſum abſolvunt. Sol et luna, & ſyderum chori, ſecundùm eius mandatum ſine vlla tranſgreſſione, in concordia ſtatutos ſibi terminos explicant & evolvunt. Gravida & fertilis terra, ſuo tempore, ſecundùm eius voluntatem, hominibus, feris, & omnibus quæ in ea ſunt animantibus, alimentum in abundantia profert, non hæſitans, neq; mutans quicquam eorum, quæ ab eo decreta ſunt. Abyſſorum inveſtigabiles, & inferorum inenarrabiles fluctus, eiſdem mandatis continentur. Immenſi maris profunditas in cumulos coacervata, clauſtra & repagula quibus vallatur, non tranſgreditur, ſed prout ei præcepit, ita facit. Dixit enim, *Huc vſq; venies, et in teipſo comminuentur fluctus tui.* Iob.38. Oceanus hominibus inpermeabilis, & qui trans ipſum

ſunt

ἴσ. ἐπιταγαῖς, vel διαταγαῖς.

κόσμοι ταῖς αὐταῖς *ταγαῖς τοῦ δεσπότου διαδέχονται. Καιροὶ ἐαρινοὶ, καὶ θερινοὶ, καὶ μετοπωρινοὶ, καὶ χειμερινοὶ ἐν εἰρήνῃ μεταπαραδιδόασιν ἀλλήλοις. Ἀνέμων σταθμοὶ κατὰ τὸν ἴδιον καιρὸν τὴν λειτουργίαν αὐτῶν ἀπροσκόπως ἐπιτελοῦσιν· ἀέναοί τε πηγαὶ πρὸς ἀπόλαυσιν καὶ ὑγείαν δημιουργηθεῖσαι, δίχα ἐλλείψεως παρέχονται τοὺς πρὸς ζωὴν ἀνθρώποις μαζούς· τά τε ἐλάχιστα τῶν ζώων τὰς συνελεύσεις αὐτῶν ἐν ὁμονοίᾳ καὶ εἰρήνῃ ποιοῦνται. Ταῦτα πάντα ὁ μέγας δημιουργὸς καὶ δεσπότης τῶν ἁπάντων ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ προσέταξεν εἶναι, εὐεργετῶν τὰ πάντα, ὑπερεκπερισσῶς δὲ ἡμᾶς τοὺς προσπεφευγότας τοῖς οἰκτιρμοῖς αὐτοῦ, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ μεγαλωσύνη εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁρᾶτε, ἀγαπητοί, μὴ αἱ

ſunt mundi, eiſdem Domini mandatis gubernantur. Vernæ, æſtivæ, autumnales & hyemales tempeſtates, in pace aliæ aliis ſuccedunt. Ventorum ſtationes peculiari ſuo tempore, munus ſuũ ſine offendiculo obeunt. Fontes etiam perennes, ad vſum & ſanitatem facti, vbera ſine defectu, ad vitam hominum ſuſtentandam, præbent; & animalia minima in pace & concordiâ congreſſus ſuos gregatim faciunt. Hæc omnia magnus opifex, & omnium Dominus, in pace & concordiâ fieri juſſit, benignum ſe omnibus præbens, nobis verò ſuperabundanter, qui per Dominum Ieſum Chriſtum, ad miſerationes ejus confugimus; cui gloria omnis, & magnificentia, in ſecula ſeculorum, Amen.

Videte, dilecti, ne bene-

εὐεργεσίαι αὐτοῦ αἱ πολλαὶ γένωνται εἰς κρίμα πᾶσιν ἡμῖν, ἐὰν μὴ ἀξίως αὐτοῦ πολιτευόμενοι τὰ καλὰ καὶ εὐάρεστα ἐνώπιον αὐτοῦ ποιῶμεν μεθ' ὁμονοίας. λέγει γάρ που, Πνεῦμα κυρίου λύχνος ἐρευνῶν τὰ ταμιεῖα τῆς γαστρός. Ἴδωμεν πῶς ἐγγύς ἐστιν, καὶ ὅτι οὐδὲν λέληθεν αὐτὸν τῶν ἐννοιῶν ἡμῶν, οὐδὲ τῶν διαλογισμῶν ὧν ποιούμεθα. δίκαιον οὖν ἐστὶ μὴ λιποτακτεῖν ἡμᾶς ἀπὸ τοῦ θελήματος αὐτοῦ. μᾶλλον ἀνθρώποις ἄφροσι καὶ ἀνοήτοις καὶ ἐπαιρομένοις καὶ ἐγκαυχωμένοις ἐν ἀλαζονείᾳ τοῦ λόγου αὐτῶν, * προσκόψωμεν, ἢ τῷ Θεῷ. Τὸν Κύριον Ἰησοῦν Χριστὸν, οὗ τὸ αἷμα ὑπὲρ ἡμῶν ἐδόθη, ἐντραπῶμεν, τοὺς προηγουμένους ἡμῶν αἰδεσθῶμεν, τοὺς πρεσβυτέρους ἡμῶν τιμήσωμεν, τοὺς νέους παιδεύσωμεν τὴν παιδείαν τοῦ φόβου τοῦ Θεοῦ, τὰς γυναῖκας ἡμῶν ἐπὶ τὸ ἀγαθὸν διορθωσώμεθα. τὸ ἀξιαγάπη-

Ἴσ. προσκρούσωμεν.

facta ejus quæ numero sunt multa, nobis in condemnationem cedant, si minus dignam eo vitam instituentes, bona & accepta in conspectu ejus, cum concordia fecerimus; dicit enim alicubi, *Spiritus Domini lucerna scrutans secreta ventris.* Prov. 20. 27. Consideremus Dominũ nobis vicinum esse, & quod cogitationum nostrarum, & colloquiorum quæ habemus, nihil ipsum lateat; æquum est igitur vt ei obtemperemus, neque ordinem voluntatis ejus tanquam transfugæ deseramus: homines stultos & insipientes, & in sermonis sui superbia elatos ac gloriosos, potius quàm Deum, offendamus. Dominum Iesum Christum, cujus sanguis pro nobis datus est, veneremur; qui nobis præsunt revereamur, seniores inter nos honoremus, juvenes in disciplina timoris Dei erudiamus. vxores nostras ad id quod bonum est emendemus; amabiles

τὸν τῆς ἁγνείας ἦθος ἐνδειξάσθω-
σαν, τὸ ἀκέραιον τῆς πραΰτητος
αὐτῶν βούλημα ἀποδειξάτωσαν,
τὸ ἐπιεικὲς τῆς γλώσσης αὐτῶν
Cl. Al. σιγῆς. διὰ τῆς * φωνῆς φανερὸν ποιη-
σάτωσαν, τὴν ἀγάπην αὐτῶν
μὴ κατὰ προσκλίσεις, ἀλλὰ πᾶ-
σι τοῖς φοβουμένοις τὸν Θεὸν ὁσίως,
Cl. Al. ἡμῶν. ἴσην παρεχέτωσαν· τὰ τέκνα * ὑ-
μῶν τῆς ἐν Χριστῷ παιδείας
μεταλαμβανέτωσαν, μαθέτω-
σαν τί ταπεινοφροσύνη παρὰ
Θεῷ ἰσχύει, τί ἀγάπη ἁγνὴ παρὰ
τῷ Θεῷ δύναται· πῶς ὁ φόβος
αὐτοῦ καλὸς καὶ μέγας καὶ σώζων
πάντας τοὺς ἐν αὐτῷ ὁσίως ἀνα-
Cl. Al. καρδίᾳ. στρεφομένους ἐν καθαρᾷ * δια-
νοίᾳ· ἐρευνητὴς γάρ ἐστιν ἐννοιῶν καὶ
ἐνθυμήσεων· οὗ ἡ πνοὴ αὐτοῦ ἐν
ἡμῖν ἐστι, καὶ ὅταν θέλῃ ἀνελεῖ
αὐτήν. Ταῦτα δὲ πάντα βεβαιοῖ
ἡ ἐν Χριστῷ πίστις, καὶ γὰρ αὐτὸς
διὰ τοῦ πνεύματος τοῦ ἁγίου οὕτως
προσκαλεῖται ἡμᾶς. Δεῦτε
τέκνα, ἀκούσατέ μου, φόβον κυρίου

amabiles castitatis mores
ostendant, puram & sin-
ceram mansuetudinis suæ
voluntatem demonstrent,
linguæ suæ moderatio-
nem silentio manifestam
faciant, charitatem suam,
sine ullâ animi in alteram
partem propensione, om-
nibus Deum sanctè ti-
mentibus, parem exhibe-
ant: filii nostri disciplinæ
Christi participes sint,
discant quantum humili-
tas apud Deum valeat,
quid casta charitas apud
Deum possit; quemad-
modum timor ejus bonus
est & magnus, servans
omnes qui in pura cogi-
tatione in ipso sanctè ver-
santur. Est enim cogita-
tionum & consiliorum
mentis scrutator, cujus
spiritus est in nobis, &
cùm vult aufert eum.
Hæc autem omnia, fides
quæ est in Christo, con-
firmat, sic enim ille per
Spiritum Sanctum nos
compellat. *Adeste filij, au-* Psal. 34.
dite me, timorem Domini 11.
docebo,

διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη τοῦ μὴ λαλῆσαι δόλον· ἔκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν· ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ πρὸς δέησιν αὐτῶν· πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακὰ τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν· ἐκέκραξεν ὁ δίκαιος, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων ἐρρύσατο αὐτόν· πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τοὺς δὲ ἐλπίζοντας ἐπὶ κύριον ἔλεος κυκλώσει. Ὁ οἰκτίρμων κατὰ πάντα καὶ εὐεργετικὸς πατὴρ ἔχει σπλάγχνα ἐπὶ φοβουμένους αὐτὸν, ἠπίως τε καὶ προσηνῶς τὰς χάριτας αὐτοῦ ἀποδιδοῖ, τοῖς προσερχομένοις αὐτῷ ἁπλῇ διανοίᾳ. Διὸ μὴ διψυχῶμεν, μηδὲ ἰνδαλλέσθω

docebo vos. Quis est homo qui vult vitam, diligens dies videre bonos? prohibe linguam tuam à malo, & labia tua ne loquantur dolum. Diverte à malo, & fac bonum, inquire pacem, & persequere eam. Oculi Domini super justos, & aures ejus in preces eorum. vultus autem Domini super facientes mala, ut perdat de terra memoriam eorum. Clamavit justus, & Dominus exaudivit eum, & ex omnibus tribulationibus ejus liberavit eum. Multa flagella peccatoris, sperantem autem in Domino, misericordia circundabit. Misericors in omnibus, & benignus Pater, viscera erga timentes eum habet, & venientibus ad ipsum cogitatione purâ & simplici, gratias suas benignè & suaviter largitur: quare animo duplici ne simus, neq; super eximijs & honorificis donis ejus dubitet aut vacil-

let

ἡ ψυχὴ ἡμῶν ἐπὶ ταῖς ὑπερ-
βαλλούσαις καὶ ἐνδόξοις δωρεαῖς
αὐτοῦ. πόῤῥω γενέσθω ἀφ' ἡμῶν
ἴσ. λέγεται. ἡ γραφὴ αὕτη, ὅπου * λέγει. Τα-
λαίπωροί εἰσιν οἱ δίψυχοι, οἱ
διστάζοντες τὴν ψυχὴν, οἱ λέ-
γοντες, Ταῦτα ἠκούσαμεν καὶ ἀπὸ
τῶν πατέρων ἡμῶν, καὶ ἰδοὺ γεγη-
ράκαμεν καὶ οὐδὲν ἡμῖν τούτων
συμβέβηκεν. Ὦ ἀνόητοι, συμ-
βάλετε ἑαυτοὺς ξύλῳ, λάβετε
ἄμπελον· πρῶτον μὲν φυλλοῤ-
ῥοεῖ, εἶτα βλαστὸς γίνεται, εἶτα
φύλλον, εἶτα ἄνθος, καὶ μετὰ
ταῦτα ὄμφαξ, εἶτα σταφυλὴ
παρεστηκυῖα· ὁρᾶτε ὅτι ἐν καιρῷ
ὀλίγῳ εἰς πέπειρον καταντᾷ
ὁ καρπὸς τοῦ ξύλου. ἐπ' ἀληθείας
ταχὺ καὶ ἐξαίφνης τελειωθήσε-
ται τὸ βούλημα αὐτοῦ, συνεπι-
μαρτυρούσης καὶ τῆς γραφῆς ὅτι
ταχὺ ἥξει ὁ κύριος εἰς τὸν ναὸν
αὐτοῦ, καὶ ὁ ἅγιος ὃν ὑμεῖς προσ-
δοκᾶτε. Κατανοήσωμεν, ἀγα-
πητοὶ, πῶς ὁ δεσπότης ἐπιδείκνυται διηνεκῶς ἡμῖν τὴν

let anima nostra: longè
à nobis absit scriptura il-
la, vbi dicitur; *Miseri &*
infelices sunt, qui animo
duplici sunt & inconstanti,
dicentes, Hæc à parentibus
nostris audivimus, & ecce
jam consenuimus, nihilta-
men horum nobis accidit.
O fatui, comparate vos
arbori, vitim sumite, pri-
mum quidem defrondes-
cit, germen postea pullu-
lat, folium deinde & flos,
posthæc vua acerba, tan-
dem demum vua matura:
videtis quod in exiguo
tempore fructus arboris
ad maturitatem perduci-
tur. In veritate breui &
subitò voluntas ejus per-
ficietur, Scriptura etiam
testimonium perhibente,
quòd statim venturus sit Mal. 3. 1.
Dominus in templum e-
ius, & sanctus quem vos
exspectatis. Considere-
mus, dilecti, quemad-
modum Dominus futu-

μέλλουσαν ἀνάστασιν ἔσεσθαι, ἧς τὴν ἀπαρχὴν ἐποιήσατο τὸν κύριον Ἰησοῦν Χριστὸν, ἐκ νεκρῶν ἀναστήσας. Ἴδωμεν, ἀγαπητοί, τὴν κατὰ καιρὸν γινομένην ἀνάστασιν· ἡμέρα καὶ νὺξ ἀνάστασιν ἡμῖν δηλοῦσιν, κοιμᾶται ἡ νύξ, ἀνίσταται ἡμέρα, ἡ ἡμέρα ἄπεισιν, νὺξ ἐπέρχεται· Ἴδωμεν τοὺς καρπούς· ὁ σπόρος πᾶσι δῆλόν τινα τρόπον γίνεται. Ἐξῆλθεν ὁ σπείρων καὶ ἔβαλεν εἰς τὴν γῆν, καὶ βληθέντων σπερμάτων, ἅτινα πεσόντα εἰς τὴν γῆν ξηρὰ καὶ γυμνὰ, διαλύεται χρόνῳ· εἶτ' ἐκ τῆς διαλύσεως ἡ μεγάλη δύναμις τῆς προνοίας τοῦ δεσπότου ἀνίστησιν αὐτά, καὶ ἐκ τοῦ ἑνὸς
Lu. 8. πλείονα αὔξει, καὶ ἐκφέρει καρπόν. Ἴδωμεν τὸ παράδοξον σημεῖον, τὸ γινόμενον ἐν τοῖς ἀνατολικοῖς τόποις, τουτέστι τοῖς περὶ τὴν Ἀραβίαν· ὄρνεον γάρ ἐστιν ὃ προσονομάζεται φοῖνιξ, τοῦτο μονογενὲς ὑπάρχον ζῇ ἔτη πεντα-

ram resurrectionem nobis continuò ostendat, cujus primitias Dominum Iesum Christum fecit, quem à mortuis suscitavit. Intueamur, dilecti, resurrectionem quæ omni tempore fit, dies & nox resurrectionem nobis ostendunt, nox cubat, exurgit dies, abit dies nox ingruit & insequitur. Intueamur fructus terræ, seminatio quomodo fiat omnibus obvium est, *Egressus est seminator*, & semen in terram jecit, & jactis seminibus, quæ nuda & arida in terram ceciderunt, tempore dissolvuntur, & post dissolutionem magna divinæ providentiæ potestate resuscitantur, ex vno plura fiunt, & fructum producunt. Contemplemur signum mirabile quod in partibus orientis, scilicet, in Arabia fit. Avis est quæ Phænix vocatur, hæc sui generis sola & solitaria existens annos quingentos

τακόσια· γινόμενόν τε ἤδη πρὸς
ἀπόλυσιν τοῦ ἀποθανεῖν αὐτό,
σηκὸν ἑαυτῷ ποιεῖ ἐκ λιβάνου, καὶ
σμύρνης, καὶ τῶν λοιπῶν ἀρωμά-
των, εἰς ὃν πληρωθέντος τοῦ
χρόνου εἰσέρχεται, καὶ τελευτᾷ.
σηπομένης δὲ τῆς σαρκὸς σκώληξ
τις γεννᾶται, ὃς ἐκ τῆς ἰκμάδος
τοῦ τετελευτηκότος ζώου ἀνατρε-
φόμενος, πτεροφυεῖ· εἶτα γεν-
ναῖος γενόμενος αἴρει τὸν σηκὸν
ἐκεῖνον, ὅπου τὰ ὀστᾶ τοῦ προγε-
γονότος ἐστὶν, καὶ ταῦτα βαστάζων,
διανύει ἀπὸ τῆς Ἀραβικῆς
χώρας ἕως τῆς Αἰγύπτου, εἰς
τὴν λεγομένην Ἡλιούπολιν καὶ
ἡμέρας βλεπόντων πάντων ἐπιπ-
τὰς, ἐπὶ τὸν τοῦ ἡλίου βωμὸν τίθη-
σιν αὐτὰ, καὶ οὕτως εἰς τοὐπίσω
ἀφορμᾷ. Οἱ οὖν ἱερεῖς ἐπισκέπ-
τονται τὰς ἀναγραφὰς τῶν χρό-
νων, καὶ εὑρίσκουσιν αὐτὸν πεντα-
κοσιοστοῦ ἔτους πεπληρωμένου ἐ-
ληλυθέναι. Μέγα καὶ θαυμαστὸν
οὖν νομίζομεν εἶναι, εἰ ὁ δημι-

gentos vivit, & cùm morti vicinam se sentit, è thure, myrrha & reliquis aromatibus, loculum sibi struit, quem completo annorum spatio ingreditur, & vitam deponit: ex carne verò ejus putrefacta vermis quidam nascitur, qui animalis defuncti humore nutritus plumescit, & auctis postea viribus loculum tollit in quo ossa parentis recondita sunt, quæ humeris gestans ex Arabica regione, in Ægyptum, & vrbem quæ Heliopolis dicitur, pervolat, ac spectantibus omnibus diurno tempore advolans, super altare Solis illa collocat, atque ita vnde venerat, regreditur. Sacerdotes annorum rationem in libris descriptam diligenter calculant, & impleto anno quingentesimo, rediisse illam comperiunt. An magnum igitur & admirandum arbitrabimur, si rerum omnium opifex, resurge-

re

υργὸς τὴν πάντων ἀνάστασιν ποιήσεται, τῶν ὁσίως αὐτῷ δουλευσάντων ἐν πεποιθήσει πίστεως ἀγαθῆς, ὅπου καὶ δι' ὀρνέου δείκνυσιν ἡμῖν τὸ μεγαλεῖον τῆς ἐπαγγελίας αὐτοῦ. λέγει γάρ που, Καὶ ἐξαναστήσεις με, καὶ ἐξομολογήσομαί σοι. καὶ, ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην ὅτι σὺ μετ' ἐμοῦ εἶ. Καὶ πάλιν Ἰὼβ λέγει, Καὶ ἀναστήσεις τὴν σάρκα μου ταύτην, τὴν ἀναντλήσασαν ταῦτα πάντα. Ταύτῃ οὖν τῇ ἐλπίδι προσδεδέσθωσαν αἱ ψυχαὶ ἡμῶν τῷ πιστῷ ἐν ταῖς ἐπαγγελίαις, καὶ τῷ δικαίῳ ἐν τοῖς κρίμασιν. ὁ παραγγείλας μὴ ψεύδεσθαι, πολλῷ μᾶλλον αὐτὸς οὐ ψεύσεται. οὐδὲν γὰρ ἀδύνατον παρὰ τῷ Θεῷ, εἰ μὴ τὸ ψεύσασθαι. Ἀναζωπυρησάτω οὖν ἡ πίστις αὐτοῦ ἐν ἡμῖν, καὶ νοήσωμεν ὅτι πάντα ἐγγὺς αὐτῷ ἐστιν, ἐν λόγῳ τῆς μεγαλωσύνης αὐτοῦ συνεστήσατο τὰ πάντα, καὶ ἐν λόγῳ δύναται αὐτὰ καταστρέψαι.

-re eos faciat, qui in bonæ fidei confidentia, religiosè illi inservierunt, cùm per volucrem, promissionis suæ magnificentiam abundè nobis patefaciat: dicit enim alicubi, *Suscitabis me, et confitebor tibi.* Et, *Dormivi et soporatus sum, surrexi quia tu mecū es.* Psal.3.5. Et rursus Iob dicit, *Et carnem hanc meā resuscitabis, quæ omnia hæc passa est.* Iob.19.25. Hac igitur spe mentes nostræ & cogitationes fixæ, firmiter adhæreant ei, qui fidelis est in promissionibus, & justus in judicijs; qui mentiri vetuit, multò minus ipse mentietur: nihil enim Deo impossibile, præterquam mentiri. Exsuscitetur in nobis fides ejus, & quod omnia ipsi propinqua sint consideremus; in verbo magnificentiæ suæ constituit omnia, & in verbo potest omnia funditus evertere.

τίς ἐρεῖ αὐτῷ· τί ἐποίησας; ἢ τίς ἀντιστήσεται τῷ κράτει τῆς ἰσχύος αὐτοῦ; ὅτε θέλει καὶ ὡς θέλει, ἐποίησεν πάντα, καὶ οὐδὲν μὴ* παρέλθῃ τῶν δεδογματισμένων ὑπ' αὐτοῦ. Πάντα ἐνώπιον αὐτοῦ εἰσί, καὶ οὐδὲν λέληθεν τὴν βουλὴν αὐτοῦ. Εἰ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα· ἡ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν· καὶ οὐκ εἰσὶ λόγοι, οὐδὲ λαλίαι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. Πάντων οὖν βλεπομένων καὶ ἀκουομένων, φοβηθῶμεν αὐτόν, καὶ ἀπολείπωμεν φαύλων ἔργων μιαρὰς ἐπιθυμίας, ἵνα τῷ ἐλέει αὐτοῦ *σκεπάσωμεν ἀπὸ τῶν μελλόντων κριμάτων. *Ποῦ γὰρ τίς ἡμῶν δύναται φυγεῖν ἀπὸ τῆς κραταιᾶς χειρὸς αὐτοῦ; ποῖος δὲ κόσμος δέξεταί τινα τῶν αὐτομολούντων ἀπ' αὐτοῦ; Λέγει γάρ που τὸ *γραφεῖον, Ποῦ *ἀφήξω, καὶ ποῦ κρυ-

ἴσ. παρῆλθε.
ἴσ. σκεπασθῶμεν.
ἴσ. Ποῖ.
ἴσ. λόγιον.
ἴσ. ἀφίξομαι.

Quis dicet ei, quid fecisti? vel, quis fortitudinis ejus robori resistet? Quando, & quemadmodum voluit, omnia ab ipso sunt facta, neq; quicquam ab eo semel decretum, infectum præterijt. Omnia coram ipso sunt, nihilq; consilium eius latuit. *Si cœli enarrant gloriam Dei, opera autem manuum eius annuntiat firmamentum. Dies diei eructat verbum, et nox nocti indicat scientiam. Non sunt loquelæ, neq; sermones, quorum non audientur voces eorum.* Cùm omnia igitur eius oculis et auribus pateant, metuamus eum, & impuras concupiscentias pravorum operum deseramus, vt à futuro judicio, eius misericordiâ, tegamur. Quónam enim quis nostrûm à potente eius manu fugere potest? Quis mundus ab eo desciscentem & transfugam, recipiet? Dicit enim alicubi scriptura, *Quò fugiam, et vbi*

Sap. Sal. 11. 22. & 12. 12.
Psal. 19.
Psal. 139. 6.

ἐκρυβήσομαι ἀπὸ τοῦ προσώπου σου; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν σὺ ἐκεῖ εἶ, ἐὰν ἀπέλθω εἰς τὰ ἔσχατα τῆς γῆς, ἐκεῖ ἡ δεξιά σου, ἐὰν καταστρώσω εἰς τὰς ἀβύσσους, ἐκεῖ τὸ πνεῦμά σου. Ποῖ οὖν τις ἀπέλθῃ, ἢ ποῦ ἀποδράσῃ, ἀπὸ τοῦ τὰ πάντα ἐμπεριέχοντος; προσέλθωμεν οὖν αὐτῷ ἐν ὁσιότητι ψυχῆς, ἁγνὰς καὶ ἀμιάντους χεῖρας αἴροντες πρὸς αὐτόν, ἀγαπῶντες τὸν ἐπιεικῆ καὶ εὔσπλαγχνον πατέρα ἡμῶν; ὃς * ἐκλογῆς μέρος ἐποίησεν ἑαυτῷ. Οὕτω γὰρ γέγραπται, Ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς * ἔσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων· ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. Καὶ ἐν ἑτέρῳ τόπῳ λέγει. Ἰδοὺ Κύριος λαμβάνει ἑαυτῷ ἔθνος ἐκ μέσου ἐθνῶν, ὥσπερ λαμβάνει ἄνθρωπος τὴν ἀπαρχὴν αὐτοῦ τῆς ἅλω, καὶ ἐξελεύσονται ἐκ τοῦ ἔθνους ἐκείνου, ἅγια ἁγίων· ἁγίου οὖν

ἴσ. ἡμᾶς.

ἴσ. διέσπειρεν.

à facie tua occultabor? si ascendero in cælum tu illic es; si ad terræ extrema abiero, dextra tua illic; si stratum posuero in abysso, illic est spiritus tuus. Quo igitur abibit quispiam, vel quo aufugiet, ab eo qui omnia complectitur? quare castas & puras manus elevantes, & benignum & misericordem patrem nostrum diligentes, in sanctitate cordis accedamus ad ipsum, qui nos sibi ipsi electionis sortem fecit. Sic enim scriptum est *Quando dividebat altissimus gentes, quando disseminavit filios Adam, constituit terminos gentium, secundum numerum Angelorum Dei. Et factus est pars Domini Iacob, funiculus hæreditatis eius Israel.* Et in alio loco dicit. *Ecce Dominus tollit sibi gentem è medio gentium, prout homo primitias areæ suæ accipit, et ex gente illa sancta sanctorum egredientur.* Cum igitur portiones

Deut.32.8. & 9.

Deut.4.34. Num.18. 27.

μερὶς ὑπάρχοντες, ποιήσωμεν
τὰ τοῦ ἁγιασμοῦ πάντα, φεύγον-
τες καταλαλιὰς, μιαράς τε καὶ
ἴσ. ἀνάγ- *ἀγνοὺς συμπλοκὰς, μέθας τε, καὶ
νους. νεωτερισμοὺς, καὶ βδελυκτὰς ἐπι-
θυμίας, μυσαρὰν μοιχείαν, βδε-
λυκτὴν ὑπερηφανίαν. Θεὸς
γάρ, φησιν, ὑπερηφάνοις ἀντιτά-
σσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.
Κολληθῶμεν οὖν ἐκείνοις, οἷς ἡ
χάρις ἀπὸ τοῦ Θεοῦ δέδοται, ἐν-
δυσώμεθα τὴν ὁμόνοιαν ταπει-
ἴσ. ἐγ νοφρονοῦντες, * ἐγκεκλευόμενοι,
ἀπὸ παντὸς ψιθυρισμοῦ καὶ κα-
ταλαλιᾶς πόρρω ἑαυτοὺς ποι-
οῦντες, ἔργοις δικαιούμενοι, καὶ μὴ
λόγοις· λέγει γάρ, Ὁ τὰ πολλὰ
λέγων, καὶ ἀντακούσεται, ἢ ὁ εὔλα-
λος οἴεται εἶναι δίκαιος; εὐλογημέ-
νος γεννητὸς γυναικὸς ὀλιγόβιος·
μὴ πολὺς ἐν ῥήμασι γίνου. Ὁ
ἔπαινος ἡμῶν ἔστω ἐν Θεῷ, καὶ μὴ
ἐξ αὐτῶν· αὐτεπαινετοὺς γὰρ μισεῖ
ὁ Θεός. ἡ μαρτυρία τῆς ἀγαθῆς
πράξεως ἡμῶν διδόσθω ὑπ᾽

portiones sancti simus, obtrectationes devitantes, scelestos & incestos complexus, ebrietates, insolentias, concupiscentias abominandas, adulterium impurum, & detestabilem superbiam, faciamus omnia quae sanctimoniam decent. *Deus enim* inquit, *superbis resistit, humilibus autem dat gratiam*. Prov.3.34 Adstringamur igitur eis quibus gratia à Deo concessa est, concordiam cum animi modestia induamus, continentiae dono instructi, susurrationem omnem & obtrectationem procul devitemus, operibus non autem verbis iustificemur. Dicit enim, *Qui multa dicit, et vicissim audiet, aut etiam eloquens putat se esse iustum. Benedictus natus mulieris, brevis vita, ne multus sis in verbis*. Iob.11.2.3 Sit laus nostra à Deo, & non à nobis ipsis, Deus enim suarum laudum praecones odio habet; testimonium bonarum nostrarum actionum ab alijs nobis exhibeatur

ἄλλων, καθὼς ἐδόθη τοῖς πατράσιν ἡμῶν τοῖς δικαίοις. Θράσος καὶ αὐθάδεια καὶ τόλμα, τοῖς κατηραμένοις ὑπὸ τοῦ Θεοῦ· ἐπιείκεια καὶ ταπεινοφροσύνη, καὶ πραΰτης παρὰ τοῖς εὐλογημένοις ὑπὸ τοῦ Θεοῦ. Κολληθῶμεν οὖν τῇ εὐλογίᾳ αὐτοῦ, καὶ ἴδωμεν τίνες αἱ ὁδοὶ τῆς εὐλογίας, ἀνατυλίξωμεν τὰ ἀπ' ἀρχῆς γενόμενα. Τίνος χάριν εὐλογήθη ὁ πατὴρ ἡμῶν Ἀβραάμ; οὐχὶ δικαιοσύνην καὶ ἀλήθειαν διὰ πίστεως ποιήσας; Ἰσαὰκ μετὰ πεποιθήσεως γινώσκων τὸ μέλλον, ἡδέως ἐγένετο θυσία. Ἰακὼβ μετὰ ταπεινοφροσύνης ἐξεχώρησεν τῆς γῆς αὐτοῦ φεύγων ἀδελφόν, καὶ ἐπορεύθη πρὸς Λαβάν, καὶ ἐδούλευσεν· καὶ ἐδόθη αὐτῷ τὸ δωδεκάσκηπτρον τοῦ Ἰσραήλ. Εἴ τις καθ' ἓν ἕκαστον εἰλικρινῶς κατανοήσῃ, ἐπιγνώσεται τὰ μεγαλεῖα τῶν ὑπ' αὐτοῦ δεδομένων δωρεῶν. ἐξ αὐτοῦ γὰρ ἱερεῖς καὶ λευῖ-

beatur, ſicut patribus noſtris qui iuſti erant exhibitum eſt. Temeritas, arrogantia & audacia, maledictis à Deo; moderatio verò, humilitas, & manſuetudo, illis qui à Deo benedicti ſunt. Eius igitur benedictioni firmiter adhæreamus, & quænam ſint benedictionis viæ, videamus; revolvamus diligenter quæ ab initio facta ſunt. Cuius gratia Abraham pater noſter benedictus fuit? nonne quia iuſtitiã & veritatem, per fidem, operatus eſt. Iſaac cum confidentia futurum dignoſcens placidè factus eſt ſacrificium. Iacob in humilitate à fratre fugiens, terram ſuam deſeruit, & profectus eſt ad Laban, illiq; inſervivit, & datum eſt ei imperium in duodecem tribus Iſrael. Si quis particulatim ſingula verè & accuratè conſiderauerit, donorum quæ per eum conceſſa ſunt, magnificentiam intelliget. Ab illo enim ſacerdotes omnes & Levitæ

ται πάντες οἱ λειτουργοῦντες τῷ θυσιαστηρίῳ τοῦ Θεοῦ. ἐξ αὐτοῦ ὁ κύριος Ἰησοῦς τὸ κατὰ σάρκα, ἐξ αὐτοῦ βασιλεῖς, καὶ ἄρχοντες, καὶ ἡγούμενοι, κατὰ τὸν Ἰούδαν· τὰ δὲ λοιπὰ σκῆπτρα αὐτοῦ οὐκ ἐν μικρᾷ δόξῃ ὑπάρχουσιν, ὡς ἐπηγγελμένου τοῦ Θεοῦ, ὅτι Ἔσται τὸ σπέρμα σου ὡς οἱ ἀστέρες τοῦ οὐρανοῦ. Πάντες οὖν ἐδοξάσθησαν καὶ ἐμεγαλύνθησαν, οὐ δι' αὐτῶν, ἢ τῶν ἔργων αὐτῶν, ἢ τῆς δικαιοπραγίας ἧς κατειργάσαντο, ἀλλὰ διὰ τοῦ θελήματος αὐτοῦ. Καὶ ἡμεῖς οὖν διὰ θελήματος αὐτοῦ ἐν Χριστῷ Ἰησοῦ κληθέντες, οὐ δι' ἑαυτῶν δικαιούμεθα, οὐδὲ διὰ τῆς ἡμετέρας σοφίας, ἢ συνέσεως, ἢ εὐσεβείας, ἢ ἔργων ὧν κατειργασάμεθα ἐν ὁσιότητι καρδίας· ἀλλὰ διὰ τῆς πίστεως, δι' ἧς πάντας τοὺς ἀπ' αἰῶνος ὁ παντοκράτωρ Θεὸς ἐδικαίωσεν. ᾧ ἔστω δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Τί οὖν *ποιήσωμεν, ἀδελφοί; *ἀργά-

ἴσ. ποιήσομεν & ἀργήσομεν.

vitæ qui altari Domini inserviunt, ab illo Dominus Iesus secundùm carnem, ab illo Reges, Principes, & gubernatores ex familia & sanguine Iudæ, originem traxerunt. Nec reliquæ eius tribus in parvo honore sunt, promittente scilicet domino. *Erit semen tuum tanquam stellæ cæli.* Omnes igitur glorificati & magnificati sunt, non per seipsos, aut eorum opera, aut iustas actiones quas patrarunt, sed per voluntatem eius. Sic & nos ex voluntate eius in Christo Iesu vocati, non per nos ipsos iustificamur, neq; per sapientiam nostram, intelligentiam, pietatem, vel opera, quæ in puritate cordis & sanctimonia operati sumus; sed per fidem, per quam omnipotens Deus, omnes ab initio iustificavit. Cui sit gloria in secula seculorum Amen. Gen.17.17.

Quid igitur faciemus Fratres, cessabimus à bo-

 nis

σωμεν ἀπὸ τῆς ἀγαθοποιΐας, καὶ
ἴσ. ἐγκαταλείψομεν. * ἐγκαταλείπωμεν τὴν ἀγά-
πην; μηδαμῶς τοῦτο ἐάσαι ὁ
δεσπότης ἐφ' ἡμῖν γε γενηθῆναι,
ἀλλὰ σπεύσωμεν μετὰ ἐκτενείας
καὶ προθυμίας, πᾶν ἔργον ἀγα-
θὸν ἐπιτελεῖν. Αὐτὸς γὰρ ὁ δημι-
ουργὸς, καὶ δεσπότης. τῶν ἁπάν-
των, ἐπὶ τοῖς ἔργοις αὐτοῦ ἀγάλλι-
ᾶται. Τῷ γὰρ παμμεγεθεστάτῳ
αὐτοῦ κράτει οὐρανοὺς ἐστήριξεν, καὶ
τῇ ἀκαταλήπτῳ αὐτοῦ σοφίᾳ
ἐκόσμησεν αὐτούς. γῆν τε διεμέ-
ρισεν ἀπὸ τοῦ περιέχοντος αὐτὴν
ὕδατος, καὶ ἥδρασεν ὡς πύργον
ἀσφαλῆ, τοῦ ἰδίου θελήματος θε-
μέλιον· τά τε ἐν αὐτῇ ζῶα φοι-
τῶντα, τῇ ἑαυτοῦ προστάξει ἐκέ-
λευσεν εἶναι· θάλασσάν τε καὶ τὰ
ἐν αὐτῇ ζῶα προδημιουργήσας,
ἐνέκλεισεν τῇ ἑαυτοῦ δυνάμει· ἐπὶ
πᾶσι τὸ ἐξοχώτατον καὶ παμμεγε-
θὲς κατὰ διάνοιαν ἄνθρωπον, ταῖς
ἱεραῖς καὶ ἀμώμοις χερσὶν ἔπλασεν,
τῆς ἑαυτοῦ εἰκόνος χαρακτῆρα.

nis operibus, & charitatem derelinquemus? neutiquam hoc à nobis fieri patiatur Dominus, sed cum diligentia & animi alacritate, omne opus bonum peragere festinemus. Ipse enim opifex & Dominus omnium, in operibus suis lætatur & exultat. Cœlos enim supremâ sua & maxima potentia stabilivit, illosq; incomprehensibili sua sapientia ornavit; terram etiam, ab aqua quæ illam ambit, separavit, & tanquam stabilem turrim firmavit, propriæ voluntatis fundamentum, & animalia quæ in illa palantur iussu suo præcepit esse. Mare etiam, & quæ, in illo animalia, prius condidit, potentia sua inclusit. Præ omnibus animal excellentissimum, & intellectus dignitate celsissimum, hominem, imaginis suæ characterem, sacris & inculpatis manibus

formauit

οὗτος γάρ φησιν ὁ Θεός. Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἡμετέραν· καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἄρσεν καὶ θῆλυ, ἐποίησεν αὐτούς. Ταῦτα οὖν πάντα τελειώσας, ἐπῄνεσεν αὐτὰ, καὶ ηὐλόγησεν, καὶ εἶπεν, Αὐξάνεσθε καὶ πληθύνεσθε *Ἴδωμεν ὅτι ῷ* ἐν ἔργοις ἀγαθοῖς πάντες ἐκοσμήθησαν οἱ δίκαιοι· καὶ αὐτὸς οὖν ὁ κύριος ἔργοις ἑαυτὸν κοσμήσας, ἐχάρη. Ἔχοντες οὖν τοῦτον τὸν ὑπογραμμὸν ἀόκνως προσέλθωμεν τῷ θελήματι αὐτοῦ, ἐξ ὅλης ἰσχύος ἡμῶν ἐργασώμεθα ἔργον δικαιοσύνης. Ὁ ἀγαθὸς ἐργάτης μετὰ παρρησίας λαμβάνει τὸν ἄρτον τοῦ ἔργου αὐτοῦ, ὁ νωθρὸς καὶ παρειμένος, οὐκ ἀντοφθαλμεῖ τῷ ἐργοπαρέκτῃ αὐτοῦ· δέον οὖν ἐστὶν προθύμους ἡμᾶς εἶναι εἰς ἀγαθοποιίαν· ἐξ αὐτοῦ γάρ ἐστι τὰ πάντα. προλέγει γὰρ ἡμῖν, Ἰδοὺ ὁ Κύριος, καὶ ὁ μισθὸς αὐτοῦ πρὸ προσώπου αὐτοῦ, ἀποδοῦ-

ἴσ. εἴδωμεν
ἴσ. τοῖς.

formavit. Sic enim dicit Deus, *Faciamus hominem ad imaginem & similitudinem nostram, et creavit Deus hominem, masculum et fœminam creavit eos.* Hæc omnia cum perfecisset, laudavit ea, et benedixit, dixitq;, *Crescite et multiplicamini*. Videmus iustos omnes bonis operibus ornatos fuisse, ipse etiam Dominus operibus seipsum ornans, gavisus est. Habentes itaq; hoc exemplar, ad voluntatem eius omnibus nostris viribus impigrè accedamus, & opus iustitiæ operemur. Bonus operarius cum fiducia panem operis sui accipit, segnis vero & remissus, operũ distributorem non obtuetur; ad benefaciendum igitur alacres & promptos nos esse oportet, ex hoc enim omnia sunt. Prædicit enim nobis, *Ecce Dominus, & merces eius in conspectu illius, vt reddat vnicuiq;*

Gen. 1. 26.
Gen. 1. 28.
Es. 40. 10. & 62. 11.

ναι ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ. Προτρέπεται οὖν ἡμᾶς ἐξ ὅλης
ἴσ. αὐτῷ. τῆς καρδίας ἐπ' * αὐτῷ, μὴ ἀργοὺς μήτε παρειμένους εἶναι ἐπὶ πᾶν ἔργον ἀγαθόν. Τὸ καύχημα ἡμῶν καὶ ἡ παῤῥησία ἔστω ἐν αὐτῷ. ὑποτασσώμεθα τῷ θελήματι αὐτοῦ· κατανοήσωμεν τὸ πᾶν πλῆθος τῶν ἀγγέλων αὐτοῦ, πῶς τῷ θελήματι αὐτοῦ λειτουργοῦσιν παρεστῶτες. λέγει γὰρ ἡ γραφή, Μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ, καὶ χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ· καὶ ἐκέκραγον, ἅγιος ἅγιος ἅγιος Κύριος σαβαώθ, πλήρης πᾶσα κτίσις τῆς δόξης αὐτοῦ. Καὶ ἡμεῖς οὖν ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτὸ συναχθέντες τῇ συνειδήσει, ὡς ἐξ ἑνὸς στόματος βοήσωμεν πρὸς αὐτὸν ἐκτενῶς, εἰς τὸ μετόχους ἡμᾶς γενέσθαι τῶν μεγάλων καὶ ἐνδόξων ἐπαγγελιῶν αὐτοῦ. λέγει γάρ, Ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη,

secundùm opus suum. Ad hoc nos hortatur & toto corde, ne segnes & desides simus ad omne opus bonum. Gloriatio nostra & loquendi libertas in eo sit; voluntati eius subijciamur, & multitudinem vniversam Angelorum eius diligenter consideremus, quemadmodum assistentes voluntatem eius exequantur. Dicit enim scriptura, *Mille millia* Dan. 7.10.
deserviebant ei, et dena millia denum millium assistebant ei. Et clamabant, Es. 6.3.
Sanctus, Sanctus, Sanctus, Dominus Sabaoth, plena est omnis creatura gloria eius. Ita & nos in concordia & conscientia in vnum congregati, vt magnarum & gloriosarum promissionum eius participes fiamus, tanquam vno ore impensè & ardenter ad eum clamemus. Dicit enim, *Oculus non vidit, nec* Es. 64. 4 &
auris audivit, nec in cor Cor. 1. 2. 9
hominis ascendit, quæ

præparavit

ὅσα ἡτοίμασεν τοῖς ὑπομένουσιν αὐτόν. Ὡς μακάρια καὶ θαυμαστὰ τὰ δῶρα τοῦ Θεοῦ, ἀγαπητοί! ζωὴ ἐν ἀθανασίᾳ, λαμπρότης ἐν δικαιοσύνῃ, ἀλήθεια ἐν παρρησίᾳ, πίστις ἐν πεποιθήσει, ἐγκράτεια ἐν ἁγιασμῷ, καὶ ταῦτα ὑπέπιπτεν πάντα ὑπὸ τὴν διάνοιαν ἡμῶν. Τίνα οὖν ἄρα ἐστὶ τὰ ἑτοιμαζόμενα τοῖς ὑπομένουσι, ὁ δημιουργὸς καὶ πατὴρ τῶν αἰώνων ὁ πανάγιος, αὐτὸς γινώσκει τὴν ποσότητα καὶ τὴν καλλονὴν αὐτῶν· ἡμεῖς οὖν ἀγωνισώμεθα εὑρεθῆναι ἐν τῷ ἀριθμῷ τῶν ὑπομενόντων αὐτόν, ὅπως μεταλάβωμεν τῶν ἐπηγγελμένων δωρεῶν. πῶς δὲ ἔσται τοῦτο, ἀγαπητοί; ἐὰν ἐστηριγμένη ᾖ ἡ διάνοια ἡμῶν*. πίστεως πρὸς τὸν Θεόν, ἐὰν ἐκζητῶμεν τὰ εὐάρεστα καὶ εὐπρόσδεκτα αὐτῷ, ἐὰν ἐπιπλήσωμεν τὰ ἀνήκοντα τῇ ἀμώμῳ βουλήσει αὐτοῦ, καὶ ἀκολουθήσωμεν τῇ ὁδῷ τῆς ἀληθείας, ἀπορρίψαντες.

*ἴσ. διά.

præparavit exspectantibus eum. Quàm beata, dilecti, & mirabilia sunt dona Dei! vita in immortalitate, splendor in iustitia, veritas in libertate, fides in confidentia, temperantia in sanctitate, & hæc omnia sub intellectum nostrum cadunt. quænam igitur sunt quæ præstolantibus eum præparantur? sanctus opifex & seculorum pater, quantitatem & pulchritudinem eorum novit: nos igitur, vt promissorum donorum participes fiamus, in numero exspectantium eum reperiri, seriò contendamus. Quomodo autē hoc fiet, dilecti? si fide in Deum cogitationes nostræ stabilitæ fuerint, si grata illi & accepta diligenter quæsiuerimus, si quæ ad inculpatam ejus voluntatem spectant, fecerimus, & viam veritatis sequuti fuerimus; abjicientes à

τες ἀφ' ἑαυτῶν πᾶσαν ἀδικίαν καὶ ἀνομίαν, πλεονεξίαν, ἔρεις, κακοηθείας τε καὶ δόλους, ψιθυρισμούς τε καὶ καταλαλιάς, θεοστυγίαν, ὑπερηφανίαν τε καὶ ἀλαζονείαν, κενοδοξίαν τε καὶ * φιλοξενίαν. Ταῦτα γὰρ οἱ πράσσοντες στυγητοὶ τῷ Θεῷ ὑπάρχουσιν· οὐ μόνον δὲ οἱ πράσσοντες αὐτά, ἀλλὰ καὶ οἱ συνευδοκοῦντες αὐτοῖς. λέγει γὰρ ἡ γραφή, Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός, ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου ἐπὶ στόματός σου; σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω· εἰ ἐθεώρεις κλέπτην συνέτρεχες, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις· τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσα σου περιέπλεκεν δολιότητα· καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. Ταῦτα ἐποίησας καὶ ἐσίγησα, ὑπέλαβες ἀνομίαν

* ἴσ. φιλοτιμίαν.

nobis omnem injustitiam, iniquitatem, cupiditatem, contentiones, malitias, fraudes, susurrationes, obtrectationes, odium Dei, superbiam, fastum, vanam gloriam, & ambitionem: qui enim hæc faciunt Deo odio sunt, neque illi solùm qui hæc faciunt, sed qui eis consentiunt. dicit enim Scriptura, *Peccatori autem dixit Deus, quare tu enarras justitias meas, & assumis testamentum meum per os tuum. Tu verò odisti disciplinam, & proiecisti sermones meos retrorsum. Si videbas furem, currebas cum eo, & cum adultero portionem tuam ponebas. Os tuum abundavit malitiâ, & linguâ tua concinnabat dolos. Sedens adversus fratrem tuum loquebaris, & adversus filium matris tuæ ponebas scandalum: hæc fecisti & tacui, existimasti* Psal. 50. 16.

μίαν ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε καὶ παραστήσω σε κατὰ πρόσωπόν σου· σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, μήποτε ἁρπάσῃ ὡς λέων, καὶ μὴ ᾖ ὁ ῥυόμενος· θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς ἣν δείξω αὐτῷ τὸ σωτήριον τοῦ Θεοῦ. Αὕτη ἡ ὁδὸς, ἀγαπητοὶ, ἐν ᾗ * εὕρομεν τὸ σωτήριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἀρχιερέα τῶν προσφορῶν ἡμῶν, τὸν προστάτην καὶ βοηθὸν τῆς ἀσθενείας ἡμῶν. Διὰ τούτου * ἀτενίσωμεν εἰς τὰ ὕψη τῶν οὐρανῶν, διὰ τούτου ἐνοπτρισώμεθα τὴν ἄμωμον καὶ ὑπερτάτην ὄψιν αὐτοῦ· διὰ τούτου ἠνεῴχθησαν ἡμῶν οἱ ὀφθαλμοὶ τῆς καρδίας, διὰ τούτου ἡ ἀσύνετος καὶ ἐσκοτισμένη διάνοια ἡμῶν, ἀναθάλλει εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· διὰ τούτου ἠθέλησεν ὁ δεσπότης τῆς ἀθανάτου γνώσεως ἡμᾶς γεύσασθαι· ὃς ὢν ἀπαύγασμα τῆς μεγαλωσύνης αὐτοῦ, τοσούτῳ

* εὑρίσκομεν.

ἴσ. ἀτενίζομεν & ἐνοπτριζόμεθα.

iniquitatem, quod ero tui similis, arguam te, & statuam contra faciem tuam peccata tua. Intelligite iam hæc qui obliuiscimini Deum, ne quando rapiat tanquam leo, & non sit qui eripiat. Sacrificium laudis honorificabit me, & illic iter quo ostendam illi salutare meum. Hæc est via, dilecti, in qua salutare nostrum Iesum Christum oblationum nostrarum summum sacerdotem, infirmitatis nostræ tutorem & defensorem invenimus: per hunc cœli altitudinem aspicimus, per hunc vultum ejus immaculatum, & sublimē tanquam in speculo intuemur, per hunc oculi cordis nostri aperti sunt, per hunc intellectus noster insipiens & obtenebratus, admirabilem ejus lucem attentè contemplatur, per hunc voluit nos Dominus immortalem cognitionem gustare, qui magnificentiæ ejus splendor & radius.

μείζων ἐστὶν ἀγγέλων, ὅσῳ διαφορώτερον ὄνομα κεκληρονόμηκεν· γέγραπται γὰρ οὕτως, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· ἐπὶ δὲ τῷ υἱῷ αὐτοῦ, οὕτως εἶπεν ὁ δεσπότης, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε, αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσιν τὰ πέρατα τῆς γῆς· καὶ πάλιν λέγει, πρὸς αὐτὸν, Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· τίνες οὖν οἱ ἐχθροὶ αὐτοῦ; οἱ φαῦλοι καὶ ἀντιτασσόμενοι τῷ Θεῷ τῷ θελήματι τὸ θέλημα ἴδιον. Στρατευσώμεθα οὖν, ἄνδρες ἀδελφοὶ, μετὰ πάσης ἐκτενείας ἐν τοῖς ἀμώμοις προστάγμασιν αὐτοῦ· κατανοήσωμεν τοὺς στρατευομένους τοῖς ἡγουμένοις ἡμῶν, πῶς εὐτάκτως, πῶς *εὐεκτικῶς, πῶς ὑποτεταγμένως ἐπιτελοῦσι τὰ διατασσό-

*Ἴσ. εὐείκτως.

radius existens, tanto major est Angelis, quanto præstantius nomen sortitus est: scriptum enim est, *Qui facit Angelos suos spiritus, & ministros suos ignis flammam.* Psal. 104.4 De filio autem suo, sic dixit Dominus, *Filius meus es tu, ego hodie genui te, postula à me, & dabo tibi gentes hæreditatem tuam, et possessionem tuam terminos terræ.* Psal. 2.7. Et rursus dicit ad eum, *Sede à dextris meis donec ponam inimicos tuos scabellum pedum tuorum.* Psal. 110.1 Quinam autem sunt inimici ejus? homines perversi & qui divinæ voluntati suam voluntatem opponunt. Militemus igitur, viri fratres, cum omni assiduitate in inculpatis ejus præceptis, consideremus milites qui ducibus nostris in bello parent, quemadmodum ordinatè, promptè, & cum omni subjectione impera-

μενα. οὐ πάντες εἰσὶν ἔπαρχοι, οὐδὲ χιλίαρχοι, οὐδὲ ἑκατόνταρχοι, οὐδὲ πεντηκόνταρχοι, οὐδὲ τὸ καθεξῆς· ἀλλ' ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι τὰ ἐπιτασσόμενα ὑπὸ τοῦ βασιλέως, καὶ τῶν ἡγουμένων, ἐπιτελεῖ. Οἱ μεγάλοι δίχα τῶν μικρῶν οὐ δύνανται εἶναι, οὐδὲ οἱ μικροὶ δίχα τῶν μεγάλων· σύγκερασίς τις ἐστὶν ἐν πᾶσι, καὶ ἐν τούτοις χρῆσις. Λάβωμεν τὸ σῶμα ἡμῶν, ἡ κεφαλὴ δίχα τῶν ποδῶν οὐδέν ἐστιν, οὕτως οὐδὲ οἱ πόδες δίχα τῆς κεφαλῆς· τὰ δὲ ἐλάχιστα μέλη τοῦ σώματος ἡμῶν, ἀναγκαῖα καὶ εὔχρηστά εἰσιν ὅλῳ τῷ σώματι· ἀλλὰ πάντα συμπνεῖ, καὶ ὑποταγῇ μιᾷ χρῆται εἰς τὸ σώζεσθαι ὅλον. Σωζέσθω οὖν ἡμῶν ὅλον τὸ σῶμα ἐν Χριστῷ Ἰησοῦ, καὶ ὑποτασσέσθω ἕκαστος τῷ πλησίον αὐτοῦ, καθὼς καὶ ἐτέθη ἐν τῷ χαρίσματι αὐτοῦ· ὁ ἰσχυρὸς μὴ * τημελείτω τὸν ἀσθενῆ, ὁ δὲ

ἴσ. ἀτημελείτω

ta exequantur, non omnes ſunt Prætores neque chiliarchæ, neque centuriones, neque quinquagenarij, & ſic deinceps; vnuſquiſque verò in ſuo ordine & ſtatione quæ à Rege & Tribunis imperantur, peragit. magni ſine parvis, neque parui ſine magnis conſiſtere nequeunt, mixtura quædam eſt in omnibus, & in his vſus. Exemplo nobis ſit corpus noſtrum, caput ſine pedibus nihil eſt, provt neque pedes ſine capite; minima autem corporis noſtri membra vniverſo corpori neceſſaria & vtilia ſunt, & cuncta ad conſervationem vniverſi conſpirant, & vnâ eâdemque ſubjectione vtuntur. Seruetur itaque corpus noſtrum in Chriſto Ieſu, & vnuſquiſque proximo ſuo ſubjiciatur juxta ordinem & dignitatem in quo gratia & dignatione ejus, poſitus eſt. Fortis ne negligat imbecillem,

ἀσθενὴς ἐντρεπέτω τὸν ἰσχυρόν, ὁ πλούσιος ἐπιχορηγείτω τῷ πτωχῷ, ὁ δὲ πτωχὸς εὐχαριστείτω τῷ Θεῷ, ὅτι ἔδωκεν αὐτῷ δι' οὗ ἀναπληρωθῇ αὐτοῦ τὸ ὑστέρημα· ὁ σοφὸς ἐνδεικνύσθω τὴν σοφίαν αὐτοῦ, μὴ ἐν λόγοις ἀλλ' ἐν ἔργοις ἀγαθοῖς· ὁ ταπεινοφρονῶν μὴ ἑαυτῷ μαρτυρείτω, ἀλλ'

ἴσ. ὑφ'. ἐάτω * ὑπ' ἑτέρου ἑαυτὸν μαρτυ-

del. καὶ ex Cl. Alex. ρεῖσθαι· ὁ ἁγνὸς ἐν τῇ σαρκὶ * καὶ μὴ ἀλαζονευέσθω, γινώσκων ὅτι ἕτερός ἐστιν ὁ ἐπιχορηγῶν αὐτῷ τὴν ἐγκράτειαν. Ἀναλογισώμεθα οὖν ἀδελφοὶ ἐκ ποίας ὕλης ἐγενήθημεν, ποῖοι καὶ τίνες εἰσήλθομεν εἰς τὸν κόσμον, ὡς ἐκ τοῦ τάφου καὶ σκότους· ὁ ποιήσας ἡμᾶς καὶ δημιουργήσας, εἰσήγαγεν εἰς τὸν κόσμον αὐτοῦ, προετοιμάσας τὰς εὐεργεσίας αὐτοῦ, πρὶν ἡμᾶς γεννηθῆναι. Ταῦτα οὖν πάντα ἐξ αὐτοῦ ἔχοντες, ὀφείλομεν κατὰ πάντα εὐχαριστεῖν αὐτῷ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας

cillem, imbecillis fortem revereatur, dives pauperi largiatur, pauper Deum laudet quod ei alium largitus sit, per quem ejus penuria & indigentia suppleri potest. Sapiens non in verbis, sed in bonis operibus sapientiam suam manifestet, humilis non sibi testimonium ferat, sed alteri permittat, de eo testimoniū præbere. Qui carne castus est, ne insolescat, cùm sciat alium esse qui continentiæ donum ipsi tribuat. Consideremus igitur, Fratres, ex qua materia facti simus, qui & quales mundum tanquam ex sepulchro & tenebris ingressi simus: qui nos fecit & condidit, præparatis prius benefactis suis antequam nasceremur, in mundum suum introduxit. Hæc igitur omnia cùm ab eo habeamus, in omnibus gratias ipsi agere debemus, cui est gloria in se-

cula

τῶν αἰώνων. Ἀμήν. Ἄφρονες καὶ ἀσύνετοι καὶ μωροὶ καὶ ἀπαίδευτοι χλευάζουσιν ἡμᾶς καὶ μυκτηρίζουσιν, ἑαυτοὺς βουλόμενοι ἐπαίρεσθαι ταῖς διανοίαις αὐτῶν· τί γὰρ δύναται θνητός; ἢ τίς ἰσχὺς γηγενοῦς; γέγραπται γάρ. Οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου· ἀλλ᾽ ἢ αὔραν καὶ φωνὴν ἤκουον. τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἔναντι κυρίου; ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ, ἄμεμπτος ἀνήρ; Εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν· οὐρανὸς δὲ οὐ καθαρὸς ἐνώπιον αὐτοῦ· ἔα δὲ, οἱ κατοικοῦντες οἰκίας πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμέν· ἔπαισεν αὐτοὺς σητὸς τρόπον, καὶ ἀπὸ πρωΐθεν ἕως ἑσπέρας οὐκ ἔτι εἰσίν· παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι ἀπώλοντο· ἐνεφύσησεν αὐτοῖς καὶ ἐτελεύτησαν, παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν. Ἐπικάλεσαι δὲ εἰ

cula ſeculorum, Amen. Homines imprudentes, deſipientes, fatui & illiterati, dum cogitationibus ſuis inflantur, nos ludibrio habent, & naſo ſuſpendunt. *Quid enim poteſt mortalis, aut, quale robur ex terra geniti?* Scriptum enim eſt, *Non erat figura ante oculos meos, ſed auram & vocem audiebam. quid enim? nunquid homo coram Domino mundus erit, vel de operibus ſuis inculpabilis vir? Si contra ſervos ſuos non credit, & adverſus Angelos ſuos pravum quid advertit. & cælum non eſt mundum ante eum? ſine verò, habitantes domus luteas, ex quibus & ipſi de eodem luto ſumus. Percuſſit illos tanquam tinea, et à mane vſq; ad veſperam vltra non ſunt, eo quod non poſſunt ſibi ipſis ſubvenire, perierunt: inſufflavit enim eis, et interierunt, quia non habebant ſapientiam. Invoca autem,* Iob.4.16.

τίς σοι ὑπακούσεται, ἢ εἴ τινα ἁγίων ἀγγέλων ὄψει; καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργή· πεπλανημένον δὲ θανατοῖ ζῆλος· ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζας βάλλοντας, ἀλλ' εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα· πόρρω γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας· κολαβρισθείησαν ἐπὶ θύραις ἡσσόνων, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος· ἃ γὰρ ἐκείνοις ἡτοίμασται, δίκαιοι ἔδονται· αὐτοὶ δὲ ἐκ κακῶν οὐκ ἐξαίρετοι ἔσονται. Προδήλων οὖν ἡμῖν ὄντων τούτων, καὶ ἐγκεκυφότες εἰς τὰ βάθη τῆς θείας γνώσεως, πάντα τάξει ποιεῖν ὀφείλομεν, ὅσα ὁ δεσπότης ἐπιτελεῖν ἐκέλευσε, κατὰ καιροὺς τεταγμένους τάς τε προσφορὰς καὶ λειτουργίας ἐπιτελεῖσθαι, καὶ οὐκ εἰκῆ ἢ ἀτάκτως ἐκέλευσεν γίνεσθαι, ἀλλ' ὡρισμένοις καιροῖς καὶ ὥραις· πού τε καὶ διὰ τίνων ἐπιτελεῖσθαι θέλει, αὐτὸς ὥρισεν τῇ ὑπερτάτῃ αὐτοῦ βουλήσει· ἵν' ὁσίως πάντα γινόμενα ἐν εὐδοκήσει εὐπρόσ-

si quis tibi respondeat, vel si quem sanctorum Angelorum aspicias; etenim stultum perimit ira, errantem autem occidit zelus. Ego autem vidi stultos radicem mittentes, sed statim absumpta est illorum habitatio: longè fiant filij eorum à salute, et conterantur super ianuas minorum, et non erit qui eripiat: quæ enim illi congregaverunt iusti comedent, ipsi verò de malis non liberabuntur. Cùm igitur hæc nobis sint manifesta etiam in profundum divinæ cognitionis introspicientes, debemus omnia rite & ordine facere, quæ Dominus præstitutis temporibus peragere nos jussit, oblationes sc. & alia munia obire: neque temerè vel inordinatè voluit ista fieri, sed statutis temporibus & horis; vbi etiam & à quibus peragi vult, ipse excelsissima sua voluntate definivit, vt religiosè omnia secundùm

ejus

δεκτα εἴη τῷ θελήματι αὐτοῦ.
Οἱ οὖν τοῖς προστεταγμένοις
καιροῖς ποιοῦντες τὰς προσφο-
ρὰς αὐτῶν, εὐπρόσδεκτοί τε καὶ
μακάριοι· τοῖς γὰρ νομίμοις τοῦ
δεσπότου ἀκολουθοῦντες οὐ διαμαρ-
τάνουσι. τῷ γὰρ ἀρχιερεῖ ἴδιαι λει-
τουργίαι δεδομέναι εἰσί, καὶ τοῖς ἱε-
ρεῦσιν ἴδιος ὁ τόπος προστέτακται, καὶ
λευίταις ἴδιαι διακονίαι ἐπίκεινται.
ὁ λαϊκὸς ἄνθρωπος τοῖς λαϊκοῖς
προστάγμασιν δέδεται. Ἕκαστος
ὑμῶν, ἀδελφοὶ, ἐν τῷ ἰδίῳ τά-
γματι εὐχαριστείτω Θεῷ, ἐν
ἀγαθῇ συνειδήσει ὑπάρχων, μὴ
παρεκβαίνων τὸν ὡρισμένον τῆς
λειτουργίας αὐτοῦ κανόνα, ἐν σε-
μνότητι. Οὐ πανταχοῦ, ἀδελφοὶ,
προσφέρονται θυσίαι ἐνδελε-
Ισ. εὐχαριστειῶν, Ισ. πλημμελείας. χισμοῦ, ἢ * εὐχῶν, ἢ περὶ ἁμαρτίας
καὶ * πλημμελίας, ἀλλ᾽ ἐν Ἱερουσα-
λὴμ μόνῃ, κἀκεῖ δὲ οὐκ ἐν παντὶ
τόπῳ προσφέρεται, ἀλλ᾽ ἔμ-
προσθεν τοῦ ναοῦ πρὸς τὸ θυσια-
στήριον, μωμοσκοπηθὲν τὸ προσ-

ejus beneplacitum adimpleta, grata & accepta ipsius voluntati essent. Qui igitur præfinitis temporibus oblationes suas faciunt, accepti & beati sunt, Domini enim mandata sequentes, non aberrant. Summo quippe sacerdoti sua munera tributa sunt, sacerdotibus locus proprius assignatus est, & Levitis sua ministeria incumbunt. Laicus præceptis laicis constringitur. Vnusquisque vestrûm, Fratres, in suo ordine & statione manens, Deo in bona conscientia gratias agat, & cùm decore intra præscriptum ministerij sui canonem, se contineat. Non in omni loco, Fratres, offeruntur sacrificia perpetua & diurna, vel pro gratiarum actione, vel pro peccatis & delictis, sed Hierosolymis tantùm; neque illic in quouis loco fit oblatio, sed in atrio templi ad altare, diligenter prius in-

σφετερμένοι διὰ τοῦ ἀρχιερέως καὶ τῶν προειρημένων λειτουργῶν. Οἱ οὖν παρὰ τὸ καθῆκον τῆς βουλήσεως αὐτοῦ ποιοῦντές τι, θάνατον τὸ πρόστιμον ἔχουσιν. Ὁρᾶτε, ἀδελφοί, ὅσῳ πλείονος κατηξιώθημεν γνώσεως, τοσούτῳ μᾶλλον ὑποκείμεθα κινδύνῳ. Οἱ ἀπόστολοι ἡμῖν εὐηγγελίσθησαν ἀπὸ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, Ἰησοῦς ὁ Χριστὸς ἀπὸ τοῦ Θεοῦ ἐξεπέμφθη. ὁ χριστὸς οὖν ἀπὸ τοῦ Θεοῦ, καὶ οἱ ἀπόστολοι ἀπὸ τοῦ χριστοῦ· ἐγένοντο οὖν ἀμφότερα εὐτάκτως ἐκ θελήματος Θεοῦ. Παραγγελίας οὖν λαβόντες, καὶ πληροφορηθέντες διὰ τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, καὶ πιστωθέντες ἐν τῷ λόγῳ τοῦ Θεοῦ, μετὰ πληροφορίας πνεύματος ἁγίου, ἐξῆλθον εὐαγγελιζόμενοι τὴν βασιλείαν τοῦ Θεοῦ μέλλειν ἔρχεσθαι. Κατὰ χώρας οὖν καὶ πόλεις κηρύσσοντες, καθίστανον τὰς ἀπαρχὰς αὐτῶν, δοκιμάσαντες τῷ πνεύματι, εἰς ἐπισκόπους καὶ

specto sacrificio, à summo sacerdote, & prædictis ministris. Qui igitur, præter id quod voluntati eius consentaneum est, aliquid admittunt, mortis supplicio puniuntur. Videtis, Fratres, quo maiore cognitione digni sumus habiti, eò graviori periculo obnoxij sumus. Apostoli nobis à Christo evangelizaverunt, Iesus Christus à Deo; missus enim est Christus à Deo, & Apostoli à Christo: & factum est vtrumque decenter ex voluntate eius. Mandata quippe accipientes, & per resurrectionem Domini nostri Iesu Christi, plena certitudine imbuti, Deiq; verbo confirmati, cum certa S. Sancti fiducia, egressi sunt, annunciantes regni Dei adventum. Per regiones igitur & vrbes verbum prædicantes, primitias eorum, spiritu probantes, Episcopos & Dia-

conos

διακόνους τῶν μελλόντων πιστεύειν. καὶ τοῦτο οὐ καινῶς, ἐκ γὰρ δὴ πολλῶν χρόνων ἐγέγραπτο περὶ ἐπισκόπων καὶ διακόνων· οὕτως γάρ που λέγει ἡ γραφή, Καταστήσω τοὺς ἐπισκόπους αὐτῶν ἐν δικαιοσύνῃ, καὶ τοὺς διακόνους αὐτῶν ἐν πίστει. Καὶ τί θαυμαστὸν, εἰ οἱ ἐν Χριστῷ * πιστεύοντες παρὰ Θεοῦ ἔργον τοιοῦτο, κατέστησαν τοὺς προειρημένους; ὅπου καὶ ὁ μακάριος πιστὸς θεράπων ἐν ὅλῳ τῷ οἴκῳ Μωϋσῆς, τὰ διατεταγμένα αὐτῷ πάντα ἐσημειώσατο ἐν ταῖς ἱεραῖς βίβλοις, ᾧ καὶ ἐπηκολούθησαν οἱ λοιποὶ προφῆται, συνεπιμαρτυροῦντες τοῖς ὑπ' αὐτοῦ νενομοθετημένοις. Ἐκεῖνος γὰρ ζήλου ἐμπεσόντος περὶ τῆς ἱερωσύνης, καὶ στασιαζουσῶν τῶν φυλῶν, ὁποία αὐτῶν εἴη τῷ ἐνδόξῳ ὀνόματι κεκοσμημένη, ἐκέλευσεν τοὺς δώδεκα φυλάρχους προσενεγκεῖν αὐτῷ ῥάβδους, ἐπιγεγραμμένας ἑκάστης φυλῆς

ἴσ. πιστευθέντες.

conos eorum qui crediturі erant, constituerunt. Neq; hoc quidem novum institutum fuit, multis enim retrò seculis, de Episcopis, & Diaconis scriptũ est; sic enim alicubi dicit scriptura. *Constituam Episcopos eorum in iustitia, & diaconos eorum in fide.* Es. 60. Et quid mirum, si quibus in Christo à Deo hoc munus commissum fuit; prædictos constituerint: cùm etiã beatus Moyses fidelis servus in vniversa domo, omnia quæ ipsi mandata erant, in sacris libris notaverit, quem cæteri prophetæ vno consensu sequuti sunt, testimonium eis præbentes, quæ ab ipso legibus sancita sunt. Ille enim cùm æmulatio pro sacerdotio incidisset, & tribus inter se dissentirent, quænam illarum glorioso illo nomine & titulo ornanda esset; iussit duodecem tribuum principes afferre sibi virgas, quæ vniuscuiusq; tribus

καθ' ὄνομα. καὶ λαβὼν αὐτὰς ἔδησεν, καὶ ἐσφράγισεν τοῖς δακτυλίοις τῶν φυλάρχων, καὶ ἀπέθετο αὐτὰς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἐπὶ τὴν τράπεζαν τοῦ Θεοῦ· καὶ κλείσας τὴν σκηνὴν, ἐσφράγισεν τὰς κλεῖδας, ὡσαύτως καὶ τὰς ῥάβδους· καὶ εἶπεν αὐτοῖς, Ἄνδρες ἀδελφοὶ, ἧς ἂν φυλῆς ἡ ῥάβδος βλαστήσῃ, ταύτην ἐκλέλεκται ὁ Θεὸς, εἰς τὸ ἱερατεύειν καὶ λειτουργεῖν αὐτῷ· πρωΐας δὲ γενομένης, συνεκάλεσεν πάντα τὸν Ἰσραὴλ, τὰς ἑξακοσίας χιλιάδας τῶν ἀνδρῶν, καὶ ἐπεδείξατο τοῖς φυλάρχοις τὰς σφραγῖδας, καὶ ἤνοιξεν τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ προσήνεγκεν ῥάβδους· καὶ εὑρέθη ἡ ῥάβδος Ἀαρὼν οὐ μόνον βεβλαστηκυῖα, ἀλλὰ καὶ καρπὸν ἔχουσα. Τί δοκεῖτε, ἀγαπητοί; οὐ προῄδει Μωϋσῆς τοῦτο μέλλειν ἔσεσθαι; μάλιστα ᾔδει· ἀλλ' ἵνα μὴ ἀκαταστασία γένηται ἐν τῷ Ἰσραὴλ, οὕτως ἐποίησεν, εἰς τὸ δοξασθῆναι

tribus nomen inſcriptum haberent, quas cùm accepiſſet in faſciculum ligavit, & annulis cuſtodum tribuum ſignavit, & in tabernaculo teſtimonij ac menſa Domini depoſuit eas, clauſoq; tabernaculo, claves ſimiliter & virgas ſignavit, & dixit eis. Viri fratres, cuius tribus virga germinaverit, hanc elegit Dominus, quæ ipſi ſacra faciat & miniſtret. Mane autem facto congregauit vniverſum populum Iſrael, ſexcenta millia virorũ, & tribuum principibus ſigilla oſtendit, tabernaculum teſtimonij aperuit, & virgas protulit; & inventa eſt virga Aaronis non tantum germinaſſe, ſed & fructum ferens. Quid, dilecti, vobis videtur, an non hoc futurum præſciverat Moyſes? maximè noverat, verùm ne ſeditio & confuſio in populo Iſrael oriretur, ita fieri excogitavit, ſcil. vt nomen veri &. ſolius Dei

glo-

τὸ ὄνομα τοῦ ἀληθινοῦ καὶ μόνου Θεοῦ,
ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων. Ἀμήν. Καὶ οἱ ἀπόστολοι
ἡμῶν ἔγνωσαν διὰ τοῦ Κυρίου ἡ-
μῶν Ἰησοῦ Χριστοῦ ὅτι ἔρις ἔσται
ἐπὶ τοῦ ὀνόματος τῆς ἐπισκοπῆς.
διὰ ταύτην οὖν τὴν αἰτίαν
πρόγνωσιν εἰληφότες τελείαν,
κατέστησαν τοὺς προειρημένους, καὶ
ἴσ. ἐπιμο-νήν. μεταξὺ* ἐπινομὴν δεδώκασιν,
ὅπως ἐὰν κοιμηθῶσιν, διαδέξ-
ωνται ἕτεροι δεδοκιμασμένοι ἄν-
δρες, τὴν λῃτουργίαν αὐτῶν. Τοὺς
οὖν κατασταθέντας ὑπ' ἐκείνων,
ἢ μεταξὺ ὑφ' ἑτέρων ἐλλογίμων
ἀνδρῶν, συνευδοκησάσης τῆς
ἐκκλησίας πάσης, καὶ λῃτουργή-
σαντας ἀμέμπτως τῷ ποιμνίῳ τοῦ
Χριστοῦ μετὰ ταπεινοφροσύνης,
ἡσύχως καὶ ἀβαναύσως, μεμαρτυ-
ρημένους τε πολλοῖς χρόνοις ὑπὸ
πάντων, τούτους οὐ δικαίως νομίζο-
μεν ἀποβάλλεσθαι τῆς λῃτουργίας.
ἁμαρτία γὰρ οὐ μικρὰ ἡμῖν ἔσται,
ἐὰν τοὺς ἀμέμπτως καὶ ὁσίως προσ-

glorificaretur, cuisit glo-
ria in secula seculorum
Amen. Et Apostoli no-
stri, per Iesum Christum
Dominum nostrum cog-
noverunt, contentionem
de nomine Episcopatus
oborituram: atq; ob hanc
causam perfectâ præsci-
entiâ præditi, constitue-
runt prędictos, ac descrip-
tas deinceps ministrorum
officiorumque vices reli-
querunt, vt in defuncto-
rum locum alij viri pro-
bati succedere, & illorum
munia exequi possent.
Constitutos itaq; ab illis,
vel deinceps ab alijs viris
celebribus, cum consensu
vniuersæ ecclesiæ, qui in-
culpatè ovili Christi de-
servierunt cum humilita-
te, quietè & absq; omni
sorde & turpitudine, qui-
que longo tempore ab
omnibus testimoniū præ-
clarum reportarunt, hos
non sine iniuria munere
vel officio exui debere ex-
istimamus. Non enim le-
viter peccabimus, si eos
repudiaverimus, qui san-

σενέγκοντας τὰ δῶρα τῆς ἐπισκοπῆς ἀποβάλωμεν. Μακάριοι οἱ προοδοιπορήσαντες πρεσβύτεροι, οἵτινες ἔγκαρπον καὶ τελείαν ἔσχον τὴν ἀνάλυσιν· οὐ γὰρ εὐλαβοῦνται μή τις αὐτοὺς μεταστήσῃ ἀπὸ τοῦ ἱδρυμένου αὐτοῖς τόπου. Ὁρῶμεν γὰρ ὅτι ἐνίους ὑμεῖς μετηγάγετε καλῶς πολιτευομένους, ἐκ τῆς ἀμέμπτως αὐτοῖς τετιμημένης λειτουργίας. Φιλόνεικοι ἐστὲ, ἀδελφοὶ, καὶ ζηλωταὶ περὶ μὴ ἀνηκόντων εἰς σωτηρίαν. Ἐγκύπτετε εἰς τὰς γραφὰς τὰς ἀληθεῖς ῥήσεις πνεύματος τοῦ ἁγίου.* ἐπίτασθε ὅτι οὐδὲν ἄδικον οὐδὲ παραπεποιημένον γέγραπται ἐν αὐταῖς· οὐ γὰρ εὑρήσετε δικαίους ἀποβεβλημένους ἀπὸ ὁσίων ἀνδρῶν· ἐδιώχθησαν δίκαιοι ἀλλ' ὑπὸ ἀνόμων· ἐφυλακίσθησαν, ἀλλ' ὑπὸ ἀνοσίων· ἐλιθάσθησαν * ὑπὸ παρανόμων· ἀπεκτάνθησαν * ὑπὸ τῶν μιαρῶν, καὶ ἄδικον ζῆλον περιειληφό-

ἴσ. ἐπί- σταθε.

ἴσ. ἀλλ'.

ἴσ. ἀλλ'

ctè & sine reprehensione episcopatus munera offerunt. Beati sunt presbyteri, qui viam sunt emensi, & diem obierunt, quique perfectam & fructuosam dissolutionem consequuti sunt, non enim verentur, ne quis eos de loco in quo constituti sunt deijciat, & in alium transferat. Videmus enim vos nonnullos à munere transduxisse, quo præclarè fungebantur, & quo ritè & sine vlla reprehensione cohonestati sunt. Contentiosi estis, Fratres, rerum quæ ad salutem minime pertinent, accensi zelo. Scripturas diligenter inspicite, quæ S. sancti vera sunt oracula, in illis nihil iniustum neque fictum aut simulatum contineri, discite; non enim a viris sanctis invenietis iustos reiectos. Persequutionem passi sunt iusti, sed ab impijs, in carcerem coniecti, sed à profanis, lapidibus obruti, sed ab iniquis & legum violatoribus, exstincti sunt, sed à scelestis & iniusta invidia contra

τῶν ταῦτα πάσχοντες εὐκλεῶς ἤνεγκαν. Τί γὰρ εἴπωμεν, ἀδελφοί; Δανιὴλ ὑπὸ τῶν φοβουμένων τὸν Θεὸν ἐβλήθη εἰς λάκκον λεόντων; Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ, ὑπὸ τῶν θρησκευόντων τὴν μεγαλοπρεπῆ καὶ ἔνδοξον θρησκείαν τοῦ ὑψίστου κατείρχθησαν εἰς κάμινον πυρός; μηδαμῶς τοῦτο γένοιτο. Τίνες οὖν οἱ ταῦτα δράσαντες; οἱ στυγητοὶ καὶ πάσης κακίας πλήρεις, εἰς τοσοῦτο *ἐξήρεισαν θυμοῦ, ὥστε τοὺς ἐν ὁσίᾳ καὶ ἀμώμῳ προθέσει δουλεύοντας τῷ Θεῷ εἰς *αἰκίαν περιβαλεῖν μὴ εἰδότες ὅτι ὁ ὕψιστος ὑπέρμαχος καὶ ὑπερασπιστής ἐστι τῶν ἐν καθαρᾷ συνειδήσει λατρευόντων τῷ παναρέτῳ ὀνόματι αὐτοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Οἱ δὲ ὑπομένοντες ἐν πεποιθήσει, δόξαν καὶ τιμὴν ἐκληρονόμησαν· ἐπήρθησάν τε καὶ *ἐπάφροι ἐγένοντο ἀπὸ τοῦ Θεοῦ ἐν τῷ

Ἴσ. ἐξέκαυσαν.

Ἴσ. κάμινον ἐμβαλεῖν.

Ἴσ. ἐλαφριζόμενοι.

tra eos stimulatis: quæ omnia cùm paterentur, gloriosè & magnanimiter tulerunt. Quid enim Fratres, dicemus? Daniel in speluncam leonum, ab eis qui Deùm timebant, coniectus est? Ananias Azarias & Misael inclusi sunt in ardentis ignis camino, ab eis qui magnificum & gloriosum altissimi cultum profitentur? absit hoc vnquam eveniat. Quinã igitur sunt, qui hæc patrarunt? Abominandi & omni malitia pleni, tanto furore accensi sunt, vt servientes Deo in sancta & inculpata voluntate in caminum conieceriut: ignorantes altissimum, protectorem & defensorem eorum esse, qui in pura conscientia, nomen eius virtute plenum colunt, cui sit gloriã in secula seculorum, Amen. Illi verò in confidentia patienter tolerantes, gloriæ & honoris hæredes facti sunt, & à Deo

μνημοσύνῳ αὐτῶν εἰς τοὺς αἰῶ-
νας τῶν αἰώνων. Ἀμήν. Τοι-
ούτοις οὖν ὑποδείγμασι κολλη-
θῆναι καὶ ἡμᾶς δεῖ, ἀδελφοί,
γέγραπται γάρ. Κολλᾶσθε τοῖς
ἁγίοις, ὅτι οἱ κολλώμενοι αὐτοῖς
ἁγιασθήσονται· καὶ πάλιν ἐν ἑτέ-
ρῳ τόπῳ λέγει, Μετὰ ἀνδρὸς ἀ-
θώου ἀθῷος ἔσῃ, καὶ μετὰ στρεβλοῦ
διαστρέψεις. Κολληθῶμεν οὖν
τοῖς ἀθῴοις καὶ δικαίοις· εἰσὶν δὲ
οὗτοι ἐκλεκτοὶ τοῦ Θεοῦ. Ἵνα τί ἔ-
ρεις, καὶ θυμοί, καὶ διχοστασίαι, καὶ σχίσ-
ματα, πόλεμός τε ἐν * ὑμῖν; ἢ ἴσ. ἡμῖν,
οὐχὶ ἕνα Θεὸν ἔχομεν, καὶ ἕνα Χρι-
στὸν, καὶ ἓν πνεῦμα τῆς χάριτος τὸ ἐκ-
χυθὲν ἐφ᾽ ἡμᾶς, καὶ μία κλῆσις ἐν
Χριστῷ; ἵνα τί διέλκομεν καὶ δια-
σπῶμεν τὰ μέλη τοῦ Χριστοῦ, καὶ
στασιάζομεν πρὸς τὸ σῶμα τὸ
ἴδιον, καὶ εἰς τοσαύτην ἀπόνοιαν
ἐρχόμεθα, ὥστε ἐπιλαθέσθαι ἡμᾶς
ὅτι μέλη ἐσμὲν ἀλλήλων; Μνή-
σθητε τῶν λόγων Ἰησοῦ τοῦ κυρίου
ἡμῶν, εἶπε γάρ. Οὐαὶ τῷ ἀν-

in memoria ipſorum exal-
tati & elevati, in ſecula ſe-
culorum. Amen. Talibus
igitur exemplis & nos ad-
hærere oportet, Fratres,
ſcriptum enim eſt, *Sanctis*
vos adiungite, quia qui il-
lis adhærent, ſanctifica-
buntur. Et rurſus in alio
loco. *Cum viro innocente* Pſal.18.15.
innocens eris. Et cum ele-
cto electus eris, & cum per-
verſo perverteris. Quare
innocentibus & iuſtis iun-
gamus nos, ſunt enim à
Deo electi. Cur inter nos
ſunt contentiones, iræ, ſi-
multates, ſchiſmata & bel-
lum? Nonne vnū Deum,
& vnum Chriſtum habe-
mus? nonne vnus eſt ſpi-
ritus gratiæ, qui ſuper nos
effuſus eſt, & vna voca-
tio in Chriſto? cur Chri-
ſti membra divellimus &
diſcerpimus, & contra
proprium corpus ſeditio-
nem movemus, eoq; veſa-
niæ devenimus, vt alio-
rum nos membra eſſe, ob-
liuioni tradamus. Recor-
damini verborum Domi-
ni noſtri Ieſu Chriſti, dixit enim; *Væ illi per quem* Luc.17.
veniunt

ἴσ. δι' οὗ τὰ σκάνδαλα ἔρχεται.
ἴσ. μᾶλλον.

θρώπῳ ἐκείνῳ * καλὸν ἦν αὐτῷ * Εἰ οὐκ ἐγεννήθη, ἢ ἕνα τῶν ἐκλεκτῶν μου σκανδαλίσαι· κρεῖττον ἦν αὐτῷ περιτεθῆναι μύλον, καὶ καταποντισθῆναι εἰς τὴν θάλασσαν, ἢ ἕνα τῶν μικρῶν μου σκανδαλίσαι. Τὸ σχίσμα ὑμῶν πολλοὺς διέστρεψεν, πολλοὺς εἰς ἀθυμίαν ἔβαλεν, πολλοὺς εἰς δισταγμόν, τοὺς πάντας ἡμᾶς εἰς λύπην· καὶ ἐπίμονος ὑμῶν ἐστιν ἡ στάσις. Ἀναλάβετε τὴν ἐπιστολὴν τοῦ μακαρίου Παύλου τοῦ Ἀποστόλου· τί πρῶτον ὑμῖν ἐν ἀρχῇ τοῦ εὐαγγελίου ἔγραψεν; ἐπ' ἀληθείας πνευματικῶς ἐπέστειλεν ὑμῖν, περὶ αὐτοῦ τε, καὶ Κηφᾶ, καὶ Ἀπολλῶ, διὰ τὸ καὶ τότε προσκλίσεις ὑμᾶς πεποιῆσθαι· ἀλλ' ἡ πρόσκλισις ἐκείνη, ἧττον ἁμαρτίαν ὑμῖν προσήνεγκεν. προσεκλίθητε γὰρ ἀποστόλοις μεμαρτυρημένοις, καὶ ἀνδρὶ δεδοκιμασμένῳ παρ' αὐτοῖς. Νυνὶ δὲ

veniunt ſcandala, melius foret ei non natum fuiſſe, quam vt vnum ex electis meis ſcandalizaret: præſtaret molam aſinariam de collo appenſam habere, et in mare demergi, quàm vt vnum ex puſillis meis ſcandalizaret. Schiſma veſtrum multos pervertit, multos animum deſpondere, multos dubitare fecit, nos omnes mœrore affecit, & ſeditio veſtra durat, nec adhuc ceſſat. Epiſtolam beati Pauli Apoſtoli in manus ſumite, quid primum vobis ſtatim in initio Evangelij ſui ſcripſerit perpendite. certè divinitus inſpiratus, de ſeipſo, de Cepha, & Apollo, per Epiſtolam vos monuit, etiam tum inter vos factiones & partium ſtudia fuiſſe: verùm in illa animorum inclinatione, minus à vobis peccatum eſt, in Apoſtolos enim præclaro teſtimonio celebres, & virum ab illis probatum, animis & affectu propendebatis. Nunc

κατανοήσατε τίνες ὑμᾶς διέστρεψαι, καὶ τὸ σεμνὸν τῆς περιβοήτου φιλαδελφίας ὑμῶν ἐμείωσαν. Αἰσχρά, ἀγαπητοί, καὶ λίαν αἰσχρά, καὶ ἀνάξια τῆς ἐν Χριστῷ ἀγωγῆς,* ἀκούεσθαι, τὴν βεβαιοτάτην καὶ ἀρχαίαν Κορινθίων ἐκκλησίαν, δι' ἓν ἢ δύο πρόσωπα, στασιάζειν πρὸς τοὺς πρεσβυτέρους· καὶ αὕτη ἡ ἀκοὴ οὐ μόνον εἰς ἡμᾶς ἐχώρησεν, ἀλλὰ καὶ εἰς τοὺς ἑτεροκλινεῖς ὑπάρχοντας ἀφ' ἡμῶν· ὥστε καὶ βλασφημίας ἐπιφέρεσθαι τῷ ὀνόματι κυρίου, διὰ τὴν ὑμετέραν ἀφροσύνην, ἑαυτοῖς * ἢ κίνδυνον ἐπεξεργάζεσθαι. Ἐξάρωμεν οὖν τοῦτο ἐν τάχει, καὶ προσπέσωμεν τῷ δεσπότῃ, καὶ κλαύσωμεν ἱκετεύοντες αὐτόν, ὅπως ἵλεως γενόμενος ἐπικαταλλαγῇ ἡμῖν, καὶ ἐπὶ τὴν σεμνὴν τῆς φιλαδελφίας ἁγνὴν ἀγωγὴν ἀποκαταστήσῃ ἡμᾶς. Πύλη γὰρ δικαιοσύνης ἀνεῳγυῖα

ἴσ. ἀκούε-ται

ἴσ. τε

verò qui sint, qui vos perverterint, & inclyti amoris vestri fraterni decus imminuerint, vobiscum perpendite. Turpia, Fratres, turpia valdè, & Christiana conversatione indigna, famâ percrebrescunt, antiquam scil. & in fide firmissimam Corinthiorum Ecclesiam, vnius aut duorum caussa, contra Presbyteros seditionem movere: & hic quidem rumor, non tantum ad nos, sed ad eos etiam qui à nobis, & à fide animo sunt alieniore, manavit; ita vt propter vestram amentiam, blasphemiæ nomini Domini inferantur, & vobis ipsis periculum creetur. Tollamus igitur hoc è medio quam celerrimè, pedibus Domini advolvamur, & flentes suppliciter imploremus eum, vt propitius factus, nobis reconciliari velit, nosq; pristinæ, castæ, & decoræ fraterni amoris conversationi, reddat & restituat. Hæc enim porta

justitiæ

εἰς ζωὴν αὕτη, καθὼς γέγραπται. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ· αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Πολλῶν οὖν πυλῶν ἀνεῳγυιῶν, ἡ ἐν δικαιοσύνῃ αὕτη ἐστὶν ἡ ἐν Χριστῷ, ἐν ᾗ μακάριοι πάντες οἱ εἰσελθόντες, καὶ κατευθύνοντες τὴν πορείαν αὐτῶν, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ἀταράχως πάντα ἐπιτελοῦντες. Ἤτω τὶς πιστὸς, ἤτω δυνατὸς γνῶσιν ἐξειπεῖν, ἤτω σοφὸς ἐν * δικαίᾳ κρίσει λόγων, ἤτω * ἁγνὸς ἐν ἔργοις· τοσούτῳ μᾶλλον ταπεινοφρονεῖν ὀφείλει, ὅσῳ δοκεῖ μᾶλλον μείζων εἶναι, καὶ ζητεῖν τὸ κοινωφελὲς πᾶσιν, καὶ μὴ τὸ ἑαυτοῦ. Ὁ ἔχων ἀγάπην ἐν Χριστῷ, τηρησάτω τὰ τοῦ Χριστοῦ παραγγέλματα. (ΜΘ) Δεσμὸν τῆς ἀγάπης τοῦ Θεοῦ, τίς δύναται ἐξηγήσασθαι; τὸ μεγαλεῖον τῆς καλλονῆς αὐτοῦ τίς ἀρκεῖ, ὡς ἔδει, εἰπεῖν;

Cl. Al. διακρίσει.
Cl. Al. ἁγνός.

justitiæ est ad vitam aperta, sicut scriptum est. *Aperite mihi portas justitiæ, ingressus in eas confitebor Domino. hæc porta Domini, justi intrabunt in eam.* Psal. 118, 19. Cùm igitur multæ portæ apertæ sint, quæ in justitia est, eadem & in Christo est, in quam beati omnes qui intrarunt, & iter suum in sanctitate & justitiâ direxerunt, sine molestia omnia & in pace peragentes. Sit aliquis fidelis, sit potens in explicanda cognitione, sit sapiens in sermonum justa dijudicatione, sit castus in operibus, quanto major esse videtur, tanto humilior esse debet, & quod omnibus utilitatem afferat, non suum quærere. Qui charitatem in Christo habet, servet Christi mandata: dilectionis Dei vinculum quis verbis exprimere potest? quis pulchritudinis ejus magnalia, prout par est, enarrare valet? alti-

tudo,

τὸ ὕψος εἰς ὃ ἀνάγει ἡ ἀγάπη, ἀνεκδιήγητόν ἐστι. Ἀγάπη κολλᾷ ἡμᾶς τῷ Θεῷ, ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν· ἡ ἀγάπη πάντα ἀνέχεται, πάντα μακροθυμεῖ. οὐδὲν βάναυσον ἐν ἀγάπῃ, οὐδὲν ὑπερήφανον· ἀγάπη σχίσμα οὐκ ἔχει, ἀγάπη οὐ στασιάζει· ἀγάπη πάντα ποιεῖ ἐν ὁμονοίᾳ· ἐν ἀγάπῃ ἐτελειώθησαν πάντες οἱ ἐκλεκτοὶ τοῦ Θεοῦ, δίχα ἀγάπης οὐδὲν εὐάρεστόν ἐστι τῷ Θεῷ. Ἐν ἀγάπῃ προσελάβετο ἡμᾶς ὁ δεσπότης, διὰ τὴν ἀγάπην ἣν ἔσχε πρὸς ἡμᾶς, τὸ αἷμα αὐτοῦ ἔδωκεν ὑπὲρ ἡμῶν ὁ Χριστὸς ὁ Κύριος ἡμῶν, ἐν θελήματι Θεοῦ, καὶ τὴν σάρκα ὑπὲρ τῆς σαρκὸς ἡμῶν, καὶ τὴν ψυχὴν ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ὁρᾶτε ἀγαπητοί, πῶς μέγα καὶ θαυμαστόν ἐστιν ἡ ἀγάπη, καὶ τῆς τελειότητος αὐτῆς οὐκ ἔστιν ἐξήγησις· Τίς ἱκανὸς ἐν αὐτῇ εὑρεθῆναι εἰ μὴ οὓς ἂν καταξιώσῃ

tudo ad quam evehit charitas inenarrabilis est. Charitas nos Deo agglutinat, charitas peccatorum multitudinem tegit, charitas omnia sustinet, omnia patienter tolerat, nihil illiberale & sordidum in charitate, nihil superbum, charitas non agnoscit schisma, charitas seditionem non movet, charitas omnia in concordia facit, in charitate omnes Dei electi perfecti sunt facti, sine charitate nihil Deo acceptum est, in dilectione nos Dominus sibi assumpsit, propter dilectionem quam erga nos habuit, Dominus noster Iesus Christus voluntate divina, sanguinem suum pro nobis dedit, & carnem suam pro carne nostra, & animam pro animabus nostris. Videtis, Fratres, quòd magna & admiranda sit charitas, & perfectionem ejus nulla narratio æquare possit: quis est idoneus ut in ipsa invenia-

ὁ Θεός· δεώμεθα οὖν καὶ αἰτώ-
ἴσ. αὐτῆς μεθα εἶναι ἀξίους * αὐτοῦ, ἵνα ἐν
ἀγάπῃ ζῶμεν, δίχα προσκλί-
σεως ἀνθρωπίνης, ἄμωμοι. Αἱ
γενεαὶ πᾶσαι ἕως τῆσδε ἡμέρας
παρῆλθον, ἀλλ' οἱ ἐν ἀγάπῃ
Cl. Al. Θεοῦ τελειωθέντες, κατὰ τὴν τοῦ * Χρι-
στοῦ χάριν ἔχουσι χώραν εὐσεβῶν·
οἳ φανερωθήσονται ἐν τῇ ἐπισκο-
πῇ τῆς βασιλείας τοῦ Χριστοῦ·
γέγραπται γάρ, Εἰσέλθε εἰς
τὰ ταμεῖα μικρὸν ὅσον ὅσον, ἕως
οὗ παρέλθῃ ἡ ὀργὴ καὶ θυμός μου,
καὶ μνησθήσομαι ἡμέρας ἀγαθῆς,
καὶ ἀναστήσω ὑμᾶς ἐκ τῶν θηκῶν
ὑμῶν. Μακάριοι ἐσμέν, ἀγαπη-
τοί, εἰ προστάγματα τοῦ Θεοῦ
ἐποιοῦμεν ἐν ὁμονοίᾳ ἀγάπης, εἰς
τὸ ἀφεθῆναι ἡμῖν δι' ἀγάπης, τὰς
ἁμαρτίας ἡμῶν· γέγραπται γάρ,
Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνο-
μίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ
ἁμαρτίαι· μακάριος ἀνὴρ ᾧ οὐ
μὴ λογίσηται κύριος ἁμαρτίαν,

inveniatur, præter eos quos Deus dignos esse judicaverit? oremus igitur & precibus petamus, vt digni eâ habeamur, & inculpati, sine studio & propensione aliqua humana, in charitate vitam transigamus. Generationes omnes ab Adamo vsque in hodiernum diem præterierunt, qui verò per Dei gratiam in charitate sunt consummati, locum piorum obtinent, & in visitatione regni Christi manifestabuntur. scriptum enim est, *Ingredère in cubicula tua, paululum quantulumcunque donec ira mea et furor pertranseat: et recordabor diei boni, et suscitabo vos è sepulchris vestris*. Es. 26. 20. Beati sumus, dilecti, si præcepta Domini in charitatis concordia impleverimus, vt per charitatem peccata nostra nobis remittantur, scriptum enim est. *Beati quorum remissæ sunt iniquitates, & quorum tecta sunt peccata. Beatus vir, cui non imputabit Dominus* Psal. 32.

peccatum,

οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος. Οὗτος ὁ μακαρισμὸς ἐγένετο ἐπὶ τοὺς ἐκλελεγμένους ὑπὸ τοῦ Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. * Ὅσοι οὖν παρέβημεν διά τινος τῶν τοῦ ἀντικειμένου, ἀξιώσωμεν συγγνώμην· καὶ ἐκεῖνοι δὲ οἵτινες ἀρχηγοὶ τῆς στάσεως καὶ διχοστασίας ἐγενήθησαν, ὀφείλουσιν τὸ κοινὸν τῆς ἐλπίδος σκοπεῖν. Οἱ γὰρ μετὰ φόβου καὶ ἀγάπης πολιτευόμενοι, ἑαυτοὺς θέλουσιν μᾶλλον * οἰκίαις περιπίπτειν, ἢ τοὺς πλησίον· μᾶλλον δὲ ἑαυτῶν κατάγνωσιν φέρουσιν, ἢ τῆς παραδεδομένης ἡμῖν καλῶς καὶ δικαίας ὁμοφωνίας. Καλὸν γὰρ ἀνθρώπῳ ἐξομολογεῖσθαι περὶ τῶν παραπτωμάτων, ἢ σκληρῦναι τὴν καρδίαν αὐτοῦ, καθὼς ἐσκληρύνθη ἡ καρδία τῶν στασιαζόντων πρὸς τὸν θεράποντα τοῦ Θεοῦ Μωϋσῆν· ὧν τὸ κρίμα πρόδηλον ἐγενήθη, κατέβησαν

ἴσ. ex Cl. Al. Ὅσοι οὖν ἄκοντες παρέβημεν διά τινας τῶν τοῦ ἀντικειμένου παρεμπεσόντων, ἀξιώσωμεν συγνώμην.

ἴσ. αἰκίαις.

peccatum, neque est in ore ejus dolus. Hæc beatitudo contigit eis, qui per Iesum Christum Dominum nostrum à Deo sunt electi, cui sit gloria in secula seculorum, Amen. Quotquot igitur inviti per aliquas adversarij suggestiones deliquimus, veniam & indulgentiam imploremus; illos verò qui seditionis & dissensionis principes & authores exstiterunt, commune bonum spei attendere oportet. qui enim in timore & charitate vitam degunt, seipsos potius quàm proximos in cruciatus incidere volunt, & seipsos potius quàm pulchram & justam traditam nobis consensionem, vituperant aut condemnant. Melius enim est, vt homo peccata sua confiteatur, quàm indurare cor suum, provt induratum est eorum cor, qui contra Moysem famulum Domini seditionem concitarunt; quorum condemnatio manifesta fuit, descenderunt

γὰρ εἰς ᾅδου ζῶντες, καὶ θάνατος κατέπιεν αὐτούς. Φαραὼ καὶ ἡ στρατιὰ αὐτοῦ, καὶ πάντες οἱ ἡγούμενοι Αἰγύπτου, τά τε ἅρματα καὶ
ἴσ. οὐ οἱ ἱππεῖς αὐτῶν, * οἱ δι' ἄλλω τινὰ αἰτίαν ἐβυθίσθησαν εἰς θάλασσαν ἐρυθρὰν, καὶ ἀπώλοντο, ἀλλὰ διὰ τὸ σκληρυνθῆναι αὐτῶν τὰς ἀσυνέτους καρδίας, μετὰ τὸ γενέσθαι τηλικαῦτα τέρατα ἐν γῇ Αἰγύπτου, διὰ τοῦ θεράποντος τοῦ Θεοῦ Μωϋσέως. Ἀπροσδεὴς, ἀδελφοὶ, ὁ δεσπότης ὑπάρχει τῶν ἁπάντων, οὐδὲ
ἴσ. τοῦ ὐδενὸς χρῄζει, εἰ μὴ * τὸ ἐξομολογεῖσθαι αὐτῷ. φησὶ γὰρ ὁ ἐκλεκτὸς Δαβὶδ, Ἐξομολογήσομαι τῷ κυρίῳ, καὶ ἀρέσει αὐτῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς· ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν. καὶ πάλιν λέγει, Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.

derunt enim in infernum viui, & mors eos absorpsit. Pharao vna cum ejus exercitu, & omnes præfecti Ægypti, currus etiam & equites eorum, non aliam ob causam rubri maris profundo immersi sunt, & perierunt, quàm quod stulta eorum corda, post tot signa & miracula ostensa per famulum Domini in terra Ægypti, indurata fuerint. Nullius rei, Fratres, indigus est Dominus, nihil à quoquam desiderat, præterquam vt ipsi confiteatur: dicit e- Psal.69.31.
nim electus David, *Confitebor Domino, & placebit ei super vitulum nouellum, cornua producentem & vngulas; videant pauperes & lætentur.* Et rur- Psal.50.14.
sus dicit, *Immola Deo sacrificium laudis, & redde altissimo vota tua. Et inuoca me in die tribulationis tuæ, & eruam te, &*

μοι· θυσία γὰρ τῷ Θεῷ πνεῦμα συντετριμμένον. Ἐπίστασθε γάρ, καὶ καλῶς ἐπίστασθε, τὰς ἱερὰς γραφάς, ἀγαπητοί, καὶ ἐγκεκύφατε εἰς τὰ λόγια τοῦ Θεοῦ· εἰς ἀνάμνησιν οὖν ταῦτα λάβετε. Μωϋσέως γὰρ ἀναβαίνοντος εἰς τὸ ὄρος, καὶ ποιήσαντος τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας, ἐν νηστείᾳ καὶ ταπεινώσει· εἶπεν πρὸς αὐτὸν Θεός, Ἀνάστηθι Μωϋσῆ, κατάβηθι τὸ τάχος ἐντεῦθεν, ὅτι ἠνόμησεν ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου· παρέβησαν ταχὺ ἐκ τῆς ὁδοῦ ἧς ἐνετείλω αὐτοῖς, ἐποίησαν ἑαυτοῖς χωνεύματα· Καὶ εἶπεν κύριος πρὸς αὐτόν, λελάληκα πρὸς σὲ ἅπαξ καὶ δὶς λέγων, ἑώρακα τὸν λαὸν τοῦτον, καὶ ἰδοὺ λαὸς σκληροτράχηλος· ἔασόν με ἐξολοθρεῦσαι αὐτούς, καὶ ἐξαλείψω τὸ ὄνομα αὐτῶν ὑποκάτωθεν τοῦ οὐρανοῦ· καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ θαυμαστὸν καὶ πολὺ μᾶλλον ἢ τοῦτο. Εἶπε δὲ Μωϋσῆς, μη-

glorificabis me. *Sacrificium enim Deo, spiritus contribulatus.* Psal. 51. 17. Nostis autem, dilecti, & probè nostis sacras Scripturas, & penitius in divina eloquia introspexistis; illa igitur mente & memoriâ recolite. Cùm Moyses in montem ascendisset, & quadraginta dies, ac totidem noctes, in iejunio & humilitate transegisset, dixit ad eum Deus, *Surge, descende velociter hinc, quia iniquitatem fecit populus tuus, quos eduxisti de terra Ægypti; transgressi sunt cito de via quam mandasti eis, & fecerunt sibi fusile. Et ait Dominus ad illum dicens, Vidi populum hunc, & ecce populus dura cervice est, dimitte me exterminare eos, & delebo nomen eorum de sub cælo, & faciam te in gentem magnam et mirandam, et multam magis quam hanc. Dixit au-* Exod. 32. & Deut. 9.

μηδαμῶς κύριε, ἄφες τὴν ἁμαρτίαν τῷ λαῷ τούτῳ, ἢ κἀμὲ ἐξάλειψον ἐκ βίβλου ζώντων. Ὦ μεγάλης ἀγάπης, ὦ τελειότητος ἀνυπερβλήτου· παρρησιάζεται θεράπων πρὸς κύριον, αἰτεῖται ἄφεσιν τῷ πλήθει, ἢ καὶ ἑαυτὸν ἐξαλειφθῆναι μετ' αὐτῶν ἀξιοῖ. Τίς οὖν ἐν ὑμῖν γενναῖος; τίς εὔσπλαγχνος; τίς * πεπληροφορημένος ἀγάπης; Εἰπάτω, Εἰ δι' ἐμὲ στάσις, καὶ ἔρις, καὶ σχίσματα, ἐκχωρῶ, ἄπειμι, οὗ ἐὰν βούλησθε, καὶ ποιῶ τὰ προστασσόμενα ὑπὸ τοῦ πλήθους· μόνον τὸ ποίμνιον τοῦ Χριστοῦ εἰρηνευέτω μετὰ τῶν καθεσταμένων πρεσβυτέρων· τοῦτο ὁ ποιήσας ἑαυτῷ μέγα κλέος ἐν κυρίῳ περιποιήσεται, καὶ πᾶς τόπος δέξεται αὐτόν· τοῦ γὰρ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. Ταῦτα, οἱ πολιτευόμενοι τὴν ἀμεταμέλητον πολιτείαν τοῦ Θεοῦ, ἐποίησαν, καὶ ποιήσουσιν. Ἵνα δὲ καὶ ὑποδείγματα ἐθνῶν

ἴσ. πεπληρωμένος.

tem Moyses, neutiquam Domine, remitte huic populo peccatum, vel dele me de libro viventium. O charitatem magnam! ô insuperabilem perfectionem! famulus Dominum liberè alloquitur, pro plebe remissionem postulat, vel seipsum vna cum eis deleri petit. Qui igitur inter vos strenuus est, qui misericors, & charitate plenus, dicat: Si propter me seditio, contentio & schismata orta sunt, emigrabo, abibo, quocunque volueritis, & quæ à plebe mandantur faciam, solùm Christi ouile cum constitutis supra se presbyteris, in pace degat. Qui hoc fecerit, magnam sibi gloriã in Domino conciliabit, & omnis locus libenter eum suscipiet. *Domini enim est terra & plenitudo eius.* Psal 24. Hæc faciunt, & porrò facient, qui vitam iuxta normam Dei, cuius nunquam pæniteat, instituunt. Placet verò exempla

 Gentium.

ἐνέγκωμεν. πολλοὶ βασιλεῖς καὶ ἡγούμενοι, λοιμικοῦ τινος ἐνστάντος καιροῦ, χρησμοδοτηθέντες, παρέδωκαν ἑαυτοὺς εἰς θάνατον, ἵνα ῥύσωνται διὰ τοῦ ἑαυτῶν αἵματος τοὺς πολίτας. πολλοὶ ἐξεχώρησαν ἰδίων πόλεων, ἵνα μὴ στασιάζωσιν ἐπὶ πλεῖον. Ἐπιστάμεθα πολλοὺς ἐν ἡμῖν παραδεδωκότας ἑαυτοὺς εἰς δεσμά, ὅπως ἑτέρους λυτρώσονται. πολλοὶ ἑαυτοὺς παρέδωκαν εἰς δουλείαν, καὶ λαβόντες τὰς τιμὰς αὐτῶν, ἑτέρους ἐψώμισαν. Πολλαὶ γυναῖκες ἐνδυναμωθεῖσαι διὰ τῆς χάριτος τοῦ Θεοῦ, ἐπετελέσαντο πολλὰ ἀνδρεῖα. Ἰουδὶθ ἡ μακαρία, ἐν συγκλεισμῷ οὔσης τῆς πόλεως, ᾐτήσατο παρὰ τῶν πρεσβυτέρων ἐαθῆναι αὐτὴν ἐξελθεῖν εἰς τὴν παρεμβολὴν τῶν ἀλλοφύλων· παραδοῦσα οὖν ἑαυτὴν τῷ κινδύνῳ, ἐξῆλθεν δι᾽ ἀγάπην τῆς πατρίδος, καὶ τοῦ λαοῦ τοῦ ὄντος ἐν συγκλεισμῷ, καὶ παρέδωκεν κύριος

Gentium in medium proferre; multi Reges & gubernatores grassante pestifera lue, & stragem minante, oraculo accepto, morti seipsos tradiderunt, vt suo sanguine cives liberarent: multi ne diutius inter cives seditio duraret, civitatibus suis valedixerunt. Multos etiam inter nos cognovimus, qui vt alijs libertatis authores essent, seipsos ad vincula damnarunt: multi in servitutem seipsos addixerunt, & laboris mercedem accipientes, alios cibarunt. Multæ mulieres gratiâ divinâ corroboratæ, multa præclara & virilia gesserunt. Beata Iudith, cũ vrbs circumsessa esset, rogavit Seniores vt sibi liceret in alienigenarũ castra exire; & periculo se objiciens, propter amorẽ patriæ, & populi qui arcta obsidione cingebatur, egressa est & tradidit Deus Olopherrem

Ὀλοφέρνην ἐν χειρὶ θηλείας.
Οὐχ ἧττον καὶ ἡ τελεία κατὰ πί-
στιν Ἐσθήρ, κινδύνῳ ἑαυτὴν παρέ-
βαλεν, ἵνα τὸ δωδεκάφυλον τοῦ
Ἰσραὴλ μέλλοντα ἀπολέσθαι, ῥύ-
σηται· διὰ γὰρ τῆς νηστείας, καὶ τῆς
ταπεινώσεως αὐτῆς, ἠξίωσεν τὸν
πάντων ποιητὴν δεσπότην, Θεὸν τῶν
αἰώνων· ὃς ἰδὼν τὸ ταπεινὸν τῆς
ψυχῆς αὐτῆς, ἐρρύσατο τὸν λαόν,
ὧν χάριν ἐκινδύνευσεν. Καὶ ἡ-
μεῖς οὖν ἐντύχωμεν περὶ τῶν ἐν
Ισ. ἀπρ- στώματι. τοι* παραπτώματι ὑπαρχόν-
των, ὅπως δοθῇ αὐτοῖς ἐπιείκεια
καὶ ταπεινοφροσύνη, εἰς τὸ εἶξαι
αὐτοὺς μὴ ἡμῖν, ἀλλὰ τῷ θελή-
ματι τοῦ Θεοῦ. οὕτως γὰρ ἔσται
αὐτοῖς ἔγκαρπος καὶ τελεία ἡ πρὸς
τὸν Θεόν, καὶ τοὺς ἁγίους μετ' οἰκ-
τιρμῶν μνεία. Ἀναλάβωμεν παι-
ἴσ. ὀφείλει. δείαν ἐφ' ἧ οὐδεὶς *ἔφιλε ἀγα-
νακτεῖν, ἀγαπητοί. ἡ νουθέτησις ἣν
ποιούμεθα εἰς ἀλλήλους, καλή
ἐστιν, καὶ ὑπεράγαν ὠφέλιμος·
κολλᾷ γὰρ ἡμᾶς τῷ θελήματι

Pag 20. Αλλα φιμωθήτω. *Clemens Alexandrinus legit* ἄλαλα, *et quidem rectè; locus autem hic conflatus est, ex vers.* 19, *Psalmi* 30. *iuxta computationem græcorum, et versu* 4. *Psal.* 11. *et eis qui sequuntur. In testimonijs scripturarum citandis, solenne esse Patribus, ex varijs locis unum corpus efficere, supra notavimus. Cur autem in Imperatiuo* φιμωθήτω *et non* φιμωθείη *scribatur, audiatur Basilius ad illud Psalm.* μδ΄. καὶ κατευόδου, καὶ βασίλευε. Μὴ ξενιζέτω δὲ ἡμᾶς τὸ προστακτικῶς λέγεσθαι τὸ, κατευόδου, διὰ τὴν συνήθειαν τῆς γραφῆς, οὕτως ἀεὶ σχηματιζούσης τὰ εὐκτικά· γενηθήτω γὰρ τὸ θέλημά σου, ἀντὶ τοῦ γενηθείη, καὶ ἐλθέτω ἡ βασιλεία σου, ἀντὶ τοῦ ἔλθοι. *et Cyrillus ad illud Psal.* νδ΄. ἐλθέτω δὴ θάνατος ἐπ' αὐτούς, *ut est in Catena nostra, non tantùm* εὐκτικὰ, *sed* προῤῥητικὰ *etiam in scripturis* προστακτικῶς *efferri, author est.* Ἔθος ἐστὶ τῇ γραφῇ τὰ προῤῥητικὰ προστακτικῷ σχήματι προφέρειν· καὶ ἐνταῦθα τοίνυν τὸ, ἐλθέτω θάνατος, καὶ τὸ, καταβήτωσαν· ἀντὶ τοῦ ἐλεύσονται, καὶ καταβήσονται, εἴρηται.

Τὸ σκῆπτρον. *Hieronymus in* 52. *cap. Esaiæ hunc locum laudat, ut supra inter veterum testimonia de Clemente & eius scriptis, à nobis notatum est. De ratione autem primi adventus Christi in humilitate et clementia, addatur ex Epistola ad Diognetum, Iustini Martyris locus.* τοῦτον πρὸς αὐτοὺς ἀπέστειλεν, ἆρά γε ὡς ἄνθρωπον ἄν τις λογίσαιτο, ἐπὶ τυραννίδι, καὶ φόβῳ καὶ καταπλήξει; οὐ μὲν οὖν, ἀλλ' ἐν ἐπιεικείᾳ καὶ πραΰτητι *&c. et de duplici habitu et duplici adventu Christi, legatur Tertullianus, capite ultimo contra Iudæos.*

Pag.

Pag.23. Οἵτινες ἐν δέρμασιν. *Hic locus ex* 11. *ad Hebræos desumptus est, provt tota hæc narratio de fide et obedientia Patriarcharum: similitudinem sensuum et verborum, quam Patres inter Epistolam ad Hebræos, et hanc Clementis esse dixerunt, ex hoc loco et aliis facilè deprehendere potest, diligens et attentus lector. Clemens Alex. lib. 4. Strom. addit,* καὶ τριχῶν καμηλείων πλέγμασι.

Pag. 24. Ἐγὼ δέ εἰμι ἀτμὶς ἀπὸ χύτρας. *De hoc loco cùm nusquam in Pentateucho reperiatur, pro me respondeat Chrysostomus homil. 7. in priorem ad Corinthios,* Καὶ ποῦ γέγραπται ταῦτα; λέγεται γὰρ γεγράφθαι, καὶ ὅταν μὴ διὰ τῶν ῥημάτων, ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων κείμενα ᾖ, ὅτι τὴν ἱστορίαν· ἢ ὅταν τὸ αὐτὸ μὲν νόημα κείμενον ᾖ, μὴ ἐπ' αὐτῶν δὲ τῶν ῥημάτων, ὡς ἐνταῦθα. *et paulò infra,* οὐκ εἰκὸς καὶ γεγράφθαι ἐν βίβλοις, καὶ ἠφανίσθη τὰ βιβλία. καὶ γὰρ πολλὰ διεφθάρη βιβλία, καὶ ὀλίγα διεσώθη, καὶ ἐπὶ τῆς προτέρας αἰχμαλωσίας· καὶ τοῦτο δῆλον ἐκ τῶν Παραλειπομένων, *&c. vide locum, et homiliam 9. in Matthæum, vbi eadem eisdem fere verbis habentur. Iosephus etiam in Hypomnestico, et resp. ad quæstionem 120. recenset,* τὰ μνημονευόμενα ἐν ταῖς γραφαῖς βιβλία ὡς ὄντα, οὐχ εὑρισκόμενα δέ. *sed nos ad finem festinantes, ad alia transire cogimur.*

Pag. 27. Τῇ διοικήσει αὐτοῦ σαλευόμενοι. *Lego* μὴ σαλευόμενοι, *sic Chrisostomus ad versum 6. Psalmi* ργ. οὐκ οὐρανὸς παρεσαλεύθη. *Locus integer divinam* διοίκησιν *universi elegantissimè depingit.* Καὶ τί δὴ θαυμαστόν, οὐχ ὅτι διακρατεῖ μόνον, οὐδ' ὅτι ἑστήκασιν ἀκίνητοι οἱ νόμοι τῆς φύσεως, ἀλλ' ὅτι καὶ χρόνον οὕτως ἄπειρον. ἐννόησον γοῦν πόσος αἰὼν καὶ οὐδὲν συνεχύθη τῶν ὄντων· οὐ θάλαττα πλέον γῆν ἐπέκλυσεν, οὐχ ἥλιος τί δὲ τὸ ὁρώμενον κατέκαυσεν, οὐκ οὐρανὸς παρεσαλεύθη, οὐ νυκτὸς οὐδὲ ἡμέρας ὅροι συνεχύθησαν, οὐχ ὡρῶν τροπαί, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. ἀλλ' ἕκαστον καὶ τῶν κάτω καὶ τῶν ἄνω, μετὰ πάσης ἕστηκε τῆς ἀκριβείας, τοὺς ἅπαξ τεθέντας ὅρους ἐξ ἀρχῆς αὐτῷ διατηροῦν. *Vox autem* σαλευθῆναι *vt obiter moneamus, non semper motum localem et corporis significat, sed motus etiam et affectus animi interdum metaphoricῶς, vt*

notat Greg. Nazian. ad illud Psal. λβ. σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην, *ut est in Catena nostra.* Ἀγνοοῦντές φησιν αὐτοῦ, οἱ τὴν οἰκουμένην οἰκοῦντες ἄνθρωποι, ἀπὸ τῆς προτέρας στάσεως ἧς εἶχον εἰδωλολατροῦντες δηλονότι σαλευθήτωσαν, τὸν ἴδιον δημιουργὸν ἐπαναβάντες. τὸ γὰρ σαλευθῆναι ἐνταῦθα δηλοῖ, οὐ κίνησίν τινα σωματικὴν, ἢ κλόνον τοιοῦτον· ἐκεῖνο δὲ μᾶλλον ἔθος καὶ θεοπνεύστῳ γραφῇ. καὶ ἤκουσαν τοῖς ἐπὶ τῶν ἐπισήμως δρωμένων λέγειν ὅτι ἐσαλεύθη. οἷον ὅτε Χριστὸς ἐποχούμενος τῷ πώλῳ, μυριάκις ὑμνολογούμενον αὐτὸν, ἀνῆλθεν εἰς Ἱεροσόλυμα· τότε τὸ ἐπίσημον τῆς εἰσβολῆς διερμηνεύων ὁ εὐαγγελιστὴς γέγραφεν, ὅτι εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις, αἴτιον τοῦ ἔγνω, καὶ ἔλαθεν οὐδένα, καὶ τὸ θαύμασθαι περὶ τοῦτον. οὕτω καὶ ἐνθάδε νοήσεις τὸ, σαλευθῆναι πάντας τοὺς κατοικοῦντας τὴν οἰκουμένην, καταπεπληγμένους καὶ θαυμάζοντας, ὡς ἀγνοεῖσθαι παντελῶς οὐδένα τὴν τοῦ Θεοῦ δόξαν, καὶ τὸ ὑπερφερὲς ἀξίωμα τῆς ἑνώσεως αὐτοῦ δυνάμεως καὶ ὑπεροχῆς.

Pag 28. Ἀλλήλοις ἐμποδίζοντα. *Lego* ἀλλήλαις ἐμποδίζουσαι. *De lucis et tenebrarum, diei et noctis, mutua et perpetua successione, de constanti et irremisso à prima creatione utriusque cursu, sine ulla confusione, aut impedimento quocunque, legatur Chrysostomi homil. 3. in Genesin.* ἴδοις ἂν τινὰ χώραν ἑκάστῳ ἀπονενεμημένην, ὅρους τινὰς ἐξ ἀρχῆς, καὶ ἐκ προοιμίων ἑκάστῳ παγέντας, ὥστε εἰς τὸ διηνεκὲς τούτους ἀπαραποδίστως διαφυλάττειν· καὶ τοῦτο ἔξεστι συνιδεῖν ἑκάστῳ τῶν εὖ φρονούντων, πῶς ἐξ ἐκείνου μέχρι τοῦ παρόντος. οὔτε τὸ φῶς ὑπερέβη τοὺς οἰκείους ὅρους, οὔτε τὸ σκότος τὴν οἰκείαν τάξιν παρῆλθε, σύγχυσίν τινα καὶ ἀταξίαν ἐργαζόμενον *et paulo infra*, ὥστε μιμήσασθαι κἂν τῶν στοιχείων τὴν τάξιν τὴν ἀπαραπόδιστον τηρούντων τὸν δρόμον, καὶ μὴ ὑπερβαίνειν τὰ οἰκεῖα μέτρα. *Et Iustinus Martyr ad Diognetum* ᾧ τοὺς οὐρανοὺς ἔκτισεν, ᾧ τὴν θάλασσαν ἰδίοις ὅροις ἐνέκλεισεν, οὗ τὰ μυστήρια πιστῶς πάντα φυλάσσει τὰ στοιχεῖα, παρ' οὗ τὰ μέτρα τῶν τῆς ἡμέρας δρόμων εἴληφε φυλάσσειν, ᾧ πειθαρχεῖ σελήνη νυκτὶ φαίνειν κελεύοντι, ᾧ πειθαρχεῖ τὰ ἄστρα, τῷ τῆς σελήνης ἀκολουθοῦντα δρόμῳ, &c. *Et Eucherius de contemptu mundi.* Cernis ut etiam dies atque anni, & cuncta hæc ornamenta cœli, Dei verbum mandatumque infatigabili observatione conseruent, præceptorumque ejus custodiant irremissa lege famulatum.

Οὐ παρεκβαίνει τὰ περιτιθέμενα αὐτῇ κλεῖθρα. *De*

De cancellis & limitibus mari à Deo positis, intra quos fluctuum feroces fremitus se continentes, præscriptos fines transgredi non audent, Vide Ierem.5.22. & Proverb. 8.29. vbi 70 Seniores voce ἀκριβασμῷ *vtuntur, quæ exactam terminorum limitationem, & finium acuratam metationem significat. Vide etiam Tertullianum cap. primo de Trinitate, & Chrysostomum ad vers.7. Psalmi* ργ. *& Theodoretum ad eundem, cuius verba cùm græcè adhuc non exstent, & sint longè elegantissima, placet hic attexere.* Βλέπε τῆς θαλάσσης τὸ κῆτος, τὸ μέγεθος, τὴν εἰς πελάγη διαίρεσιν, τὰς ἀκτὰς, τοὺς ὅρμους, τὰς ἐν μέσῳ νήσους, τῶν ἰχθύων τὰ γένη, τὰ εἴδη, τὰ σχήματα, τὴν ποικιλίαν, τὴν πρὸς τὴν χέρσον φιλίαν, τὰ τῶν κυμάτων ὑψώματα, τὸν ἐπικείμενον αὐτοῖς τῆς προνοίας χαλινόν· δι' ὃν τὴν ἤπειρον ἐπικλύζειν οὐ δύναται, ἀλλὰ ὁρμηθέντα κατὰ τῆς ψάμμου φοβεῖται τοὺς ὅρους, καὶ τὸν θεῖον ἐκεῖ νόμον γεγραμμένον ὁρῶντα, δίκην τινὸς γαύρου ἵππου ἀγχόμενος ὑπὸ πωλοδάμνου ἀνακλᾷ τὸν αὐχένα, καὶ εἰς τοὐπίσω χωρεῖ, ὥσπερ μεταμελόμενα ὅτι καὶ τῆς ψάμμου προσέψαυσεν. *Cum his confer, quæ scribit Cyrillus Hierosl. catech. 9.* Τίς δύναται διηγήσασθαι τῆς θαλάσσης τὸν βυθὸν, καὶ τὸ πλάτος, ἢ τῶν ὑπερμέτρων κυμάτων τὴν ὁρμήν· ἀλλ' εἰς τοὺς ὅρους αὐτῆς ἔμεινε, διὰ τὸν εἰπόντα, ἄχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα. ὅπερ καὶ δηλοῦσα τὸν ἐπιτεταγμένον αὐτῇ τοῦ προστάγματος λόγον, ἐπιδραμοῦσα διὰ τῶν κυμάτων, γραμμήν τινα φανερὰν ἐναφίησι τοῖς αἰγιαλοῖς, δηλοῦσα τοῖς ὁρῶσιν, ὥσπερ ὅτι τοὺς προστεταγμένους οὐ παραβέβηκεν ὅρους.

Ὠκεανὸς ἀνθρώποις ἀπέρατος. *Lege* ἀπέρατος, *atque ita Ruffinus Originis interpres,* intransibilis & intransmeabilis *vertit, licet eodem errore apud Clementem Alex. scribatur* ἀπέραντος. *Per Oceanum autem hîc, nisi me fallit conjectura,* τὴν ἔξω θάλασσαν *intelligit, neque eam omnem, sed Britannicum nostrum & Hibernicum mare, quod veteribus græcis & Romanis æquè imperuium erat, ac ipsa Britannia incognita, cuius ora maritima quæ contra Galliam est, ante Iulij Cæsaris tempora (qui posteris ostendisse potius quàm tradidisse insulæ notitiam dicitur) vix Gallis vici-*

nis illorumq; mercatoribus innotuerat. Quid quod Basilius longè post Clementem nostrum, homil. 4. in Hexaëmeron, τὸ πέλαγος τὴν βρεττανικὴν νῆσον καὶ τοὺς ἑσπερείους Ἴβηρας περιπτυσσόμενον. μέγα *vocet* καὶ πλωτῆρσιν ἀτέκμαρτον: *quem locum Ambrosius sic exprimit.* Quis deinde sciat, in quantum se illud magnum & inausum navigantibus, atq; intentatum nautis fundat mare, quod Britannias frementi includit æquore? &c. *Et Libanius Basilij coætaneus in Basilico, describens Constantij Imperatoris* τὸν διάπλουν εἰς τὴν νῆσον τὴν Βρεττανίαν, *& traiectus difficultatem maximam, propter æstus contrarios, et ventorum violentiam, mare Britannicum* ἀπέραντον *esse dicit; vbi fortè* ἀπέρατον *legendum esse, non ineptè quis conijcere potest, sed de voce contentionem non moveo. Eius verba ita se habent.* Ἔστι δὴ λόγος, μάρτυρας τὰς ὄψεις παρεχόμενος, ὡς ἄρα μεῖζον * εἰς κίνδυνον πλοῖον στρογγύλον ὑπὲρ ἐκείνης ἀφεῖναι τῆς θαλάττης, ἢ ναυμαχίαν ἑτέρωθι συστήσασθαι, οὕτω λαμπραὶ μὲν καταιγίδες εἰς οὐρανὸν κυρτοῦσι τὰ κύματα· ἐξωθοῦσι δὲ ὑπολαμβάνοντες ἄνεμοι, πρὸς ἀπέραντον ἐκφέρουσι πέλαγος· τὸ δὲ δεινότατον, ἐπειδὴ γὰρ τοῖς ἄλλοις ἅπασιν ὁ κυβερνήτης αὐτὸ πιστεύσῃ τὴν τέχνην, ὑπονοστεῖ μὲν ἐξαίφνης ἡ θάλαττα, ἡ δὲ τέως μετέωρος ὑπὸ τῶν κυμάτων ὁλκὰς, ἐπὶ ψιλῆς ὁρᾶται τῆς ψάμμου κειμένη. καὶ εἰ μὲν ὀξεῖαν αὐτα-προσείλῃ τὴν παλίρροιαν, ἀναλαμβάνει τε αὖθις τὸ σκάφος· καὶ δεῖ τὰ λοιπὰ πονεῖν τοὺς ἐμπλέοντας· ἢν δὲ μελλήσῃ πρὸς τὴν ἐπάνοδον, δεῖται χρόνου μακροῦ τὸ πλοῖον, ὑπεικούσης πρὸς τὸ ἄχθος τῆς ψάμμου.

ἴσ. ἔτι κίνδυνος

Pag. 29. Καὶ οἱ μετ' αὐτὸν κόσμοι. Κόσμοι *pro* κόσμος *numero plurali, quod hebraicum est, et scripturis familiare, vt notat Chrysost. ad v. 1. Psal. 18. vt est in Catena nostra,* Ὁ δὲ ψαλμὸς ὀνομάζων οὐρανοὺς οὐρανῶν, καὶ πλειόνων ἡμῖν ἔννοιαν ἐνεποίησεν, εἰ μή που πείθοι ὅτι εἴωθεν ἡ τῶν Ἑβραίων διάλεκτος τὰ ἑνικὰ πληθυντικῶς ὀνομάζειν, ἀντὶ γοῦν τοῦ εἰπεῖν, ὁ οὐρανὸς τοῦ οὐρανοῦ, εἶπεν, οἱ οὐρανοὶ τῶν οὐρανῶν. *Sic Theodoretus quæst. 13. in Genesin,* πληθυντικῶς δὲ ἡ θεία γραφὴ τοὺς οὐρανοὺς ὀνομάζει λέγουσα οἱ οὐρανοὶ τῶν οὐρανῶν, ἐπειδὴ τῶν Ἑβραίων ἡ γλῶττα, οὔτε τὸν οὐρανὸν, οὔτε τὸ ὕδωρ οἶδεν ἑνικῶς ὀνομάσαι· εὕροι δ' ἄν τις τοιαῦτα πολλὰ καὶ παρὰ τῇ ἑλλάδι φωνῇ· Ἀθήνας γὰρ τὴν πόλιν οὐδεὶς ἑνικῶς ὀνομάζει.

μάζῃ, ἀλλ' ἀθλίως πληθυντικῶς, καὶ δελφὸν πάλιν τὴν πόλιν. οὐδεὶς καλεῖ δελφὸν ἀλλὰ δελφούς. Sic Philoponus in Genesin lib. 4. cap. 5. Πολλὰ τῶν ὀνομάτων ἑνικῶς ἅμα καὶ πληθυντικῶς λέγεται, τῆς αὐτῆς μὲν οὔσης ἐν ἑκατέρᾳ φωνῇ σημασίας, *nec tantùm in nominibus proprijs hoc obtinere vult*, ἀλλὰ καὶ ἐπὶ προσηγορικῶν, *et utriusque generis exempla affert.* Τῶν κόσμων *autem nomine, si praecedens nostra coniectura vera est, gentes Britannicae intelligendae veniunt, et populus qui insulam incolebat: vel insula ipsa, quae propter magnitudinem, mundi alterius nomen meretur, et à reliquo orbe, tanquam orbis alter, Oceano divisus est. Verùm haec acuratius perpendenda* τῇ τῶν γλαφυρωτέρων κρίσει *relinquimus, neque quicquam in re adeo obscurâ, pro certo et indubitato affirmamus; nobisque satis erit, si viris doctis, quae in medium protulimus, non prorsus* ἀπίθανα, *nec penitus absurda videbuntur.*

Ὧ ἡ δόξα &c. *Non tantùm in fine, sed in initio, et medio epistolarum suarum, Divus Paulus* δοξολογίαν *usurpat, quem Clemens discipulus, ut in alijs, sic in hoc etiam imitatur. Apud Chrysostomum homil. 55. in Matthaeum, hymnus* εὐχαριστήριος *habetur, quo monachi sui temporis in Eremo, à caena utebantur (quos propter vitae sanctimoniam, et caelestem in terris conversationem,* ἀγγέλους *vocat) in quo, cur post* δοξολογίαν, *hymnum rursus inciperent et continuarent, rationem reddit, his verbis,* Μὴ τοίνυν μηδὲ τοῦτο ἐγκαλῶμεν τοῖς ἀγγέλοις ὡς ἀπρεπῶς ποιοῦσιν, ὅτι καταλύσαντες τὸν λόγον εἰς δοξολογίαν, πάλιν ἄρχονται τῶν ὕμνων τῶν ἱερῶν, ἀποστολικοῖς γὰρ ἕπονται νόμοις, ἀπὸ δοξολογίας ἀρχόμενοι, καὶ εἰς τοῦτο τελευτῶντες, καὶ μετὰ τὴν τελευτὴν ταύτην προσευχόμενοι πάλιν. *Sic Hieronymus in praefatione in Psalmos ad Sophronium, probat unum tantùm esse Psalmorum volumen, licet quinquies occurrat illud* γένοιτο, γένοιτο *i. e. Amen, Amen; unde quidam in quinque libros dividere solent, et* ἄλλην πεντάτευχον *faciunt, ut loquitur Nicetas in praefatione*

in

in Catenam suam. Si enim Amen, *inquit*, pro quo Aquila transtulit πεπιστωμένως in fine tantummodo librorum poneretur, et non interdum aut in exordio, aut in calce sermonis siue sententiæ, nunquam saluator in Evangelio loqueretur, *Amen Amen dico vobis*: nec Pauli epistolæ, in medio illud opere continerent. Moyses quoq; & Ieremias, & cæteri in hunc modum multos haberent libros, qui in medijs voluminibus suis, *Amen*, frequenter interserunt.

Pag. 30. Περισκέψωμεν. *Fortè προσεδρεύωμεν, qua voce Chrysostomus frequentissimè vtitur, vt homil. 20. in epist. ad Ephes.* οὐδὲν φοβερὸν τῷ ἐν τῷ βίῳ, ἢ μόνον τὸ προσεδρεύειν τῷ θεῷ. *et homil. 5. in epist. ad Rom.* τὸ γὰρ προσεδρεύειν τῷ θεῷ, τὸ καλὸν δηλοῖ χαλεπώτερον. *et in Matth. homil. 31.* τὸ γὰρ πάντων χαλεπώτερον ἐστὶ τοῦτο, ὅτι τῷ θεῷ προσεδρεύει: *et alibi passim. quibus vero* προσκύψωμεν *magis arridet, per me retineant licebit, cùm sciam apud Petrum scriptum esse,* τῷ λόγῳ προσέχοντες.

Ὑπὲρ ὑμῶν ἐδόθη. *Clemens Alex. legit* ἡγιάσθη: *quid si* ἐξεχύθη, *sed nihil muto.*

Pag. 31. Διὰ τῆς φωνῆς. *Clemens Alex. legit* σιγῆς, *& quidem multò rectiùs:* γύναιξι γὰρ κόσμον ἡ σιγὴ φέρει, *vt author est Sophocles. Modesto enim silentio in muliere nihil commendatius, præsertim in publicis cœtibus, & sacris conuentibus, vt præcipit Paulus. Vnde Cyrillus Hieros. in Procatechesi, mulieres vult in templis exorcismorum tempore, legendo, orando, & psallendo occupatas esse, sed sine omni murmure & strepitu, ita vt proximè assidentium vicina aures, labiorum loquelas non audiant. Eius verba ita se habent,* καὶ ἄλλος πάλιν ὁ παρθενικὸς ἔστω συλλεχθείς, ἢ ψαλλέτω ἢ ἀναγινωσκέτω ἡσυχῇ (*MS. Oxoniensis in Bibliotheca Bodleiana optima nota, legit* ἡσυχῇ, *et rectè*) ὥστε λαλεῖν μὲν

τὰ

τὰ χείλη, μὴ ἀκούεσθαι δὲ τὰ ῥήματα. γυναικὶ γὰρ λαλεῖν ἐν ἐκκλησίᾳ οὐκ ἐπιτρέπεται· καὶ ἡ ἔγγαμος ὁμοίως· μιμείσθω καὶ προσευχέσθω, καὶ τὰ χείλη κινείσθω, φωνὴ δὲ μὴ ἀκουέσθω, &c. ἴσ. ὑμνείσθω.

Pag 32. μηδὲ ἰνδαλλέσθω. *Forte* ἐνδοιάσθω *literarum levi mutatione, vel potius* ἰλιγγιάσθω *quod idem est, & à Chrysostomo sæpenumero usurpatur; ut homil. 25. in epist. ad Hebræos, de Abrahamo verba faciens, & eius fide quæ non vacillaverat, licet Dei præcepta promissis planè contraria viderentur:* εἶδες μάχην προσταγμάτων καὶ ἐπαγγελίας, ἐναντία ταῖς ἐπαγγελίαις προσέταξε, καὶ οὐδὲ οὕτως ἰλιγγίασεν ὁ δίκαιος, οὐδὲ ἠπατῆσθαι ἔφη. *& paulò infra ibidem,* ἐναντία ταῖς ὑποσχέσεσι προσεπίταττε τὸ ποιεῖν, καὶ οὐδὲ οὕτως ἐθορυβήθη, οὐδὲ ἰλιγγίασεν, οὐδὲ ἠπατῆσθαι ἐνόμισεν, *& homil. 19. in epist. ad Ephesios, ubi de providentia divina dubitandum non esse asserit, licet rerum multarum caussæ & rationes nos lateant, quod egregiis similitudinibus, à fabrorum, pictorum, apum, formicarum, arenearum, & hirundinum operibus illustrat.* ἀλλ' ἄπελθε εἰς τεκτονεῖον, καὶ οὐκ ἐξετάζεις τὸν λόγον καίτοι γε οὐδὲν οἶδας τῶν γινομένων ἐκεῖ, καὶ πολλὰ ἄτοπα εἶναί σοι δοκεῖ, οἷον ὅταν τορεύῃ τὸ ξύλον, ὅταν μετασχηματίζῃ· μᾶλλον δὲ εἰς εὐπορωτέραν σε τέχνην αὖ ἀγάγω, οἷον τὴν τῶν ζωγράφων, καὶ ἐκεῖ ἰλιγγιάσεις· εἰπὲ γάρ μοι, οὐχὶ ἁπλῶς σοι δοκεῖ ποιεῖν ὃ ποιεῖ; τί γὰρ αὐτῷ βούλονται αἱ γραμμαὶ καὶ αἱ περιαγωγαὶ τῶν γραμμῶν; ἀλλ' ἂν ἐπιθῇ τὰ χρώματα, τότε σοι φανεῖται ἡ τέχνη καλή, καὶ ὅμως οὐδὲ οὕτως ἀκριβῶς οὐδὲν δυνήσῃ καταμαθεῖν, &c.

Pag 33. ταλαίπωροί εἰσιν. *De hoc loco, cùm nusquam in Scripturis exstet, nihil aliud responderi potest, quàm quod supra de verbis Moysis,* Ἐγὼ δέ εἰμι ἀτμὶς ἀπὸ κύθρας. *ex Chrysostomo à nobis allatum est: Videtur autem respexisse ad locum Petri epist. 2. cap. 3.* Καὶ λέγοντες, Ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; ἀφ' ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν, πάντα οὕτω διαμένει ἀπ' ἀρχῆς κτίσεως.

Pag. 34. ἡμέρα καὶ νὺξ ἀνάστασιν ἡμῖν δηλοῦσιν. *Tertullianus de resurrectione c. 12. locū hunc eleganter exprimit,*

nec dubium est, quin in hoc, & sequente capite quod de Phœnice est, Clementem nostrum sequutus sit. Aspice nunc, *inquit*, ad ipsa quoq; exempla divinæ potestatis. Dies moritur in noctem, & tenebris vsquequaq; sepelitur. Funestatur mundi honor, omnis substantia denigratur. Sordent, silent, stupent cuncta, vbiq; iustitium est, quies rerum. Ita lux amissa lugetur, & tamen rursus cum suo cultu, cum dote, cum Sole, eadem & integra & tota vniverso orbi revivis cit, interficiens mortem suam noctem, rescindens sepulturam suam tenebras, hæres sibimet existens, donec & nox reviviscat cum suo & illa suggestu. &c. *Sic Epiphanius in Ancorato,* Καὶ ἡ κτίσις πᾶσα διαῤῥήδην αὐτοὺς ἐλέγχει, ὑποφαίνουσα καθ' ἑκάστην ἡμέραν ἀνάστασιν τὸ εἶδος· δύνει γὰρ ἡ ἡμέρα, καὶ νεκρῶν αἰνιττόμεθα τὸν τύπον κοιμισμὸν αἰνιττομένης· ἀνατέλλει ἡ ἡμέρα ἡμᾶς διϋπνίζουσα, καὶ ἀναστάσεως ὑποδεικνύουσα τὸ σημεῖον. *Locus hic corruptus videtur, quem nos ex coniectura sic emendandum putamus,* καὶ νεκρῶν ὑπαινιττόμεθα τὸν τύπον, κοίμησιν θάνατον αἰνιττομένης *&c.*

Ξηρὰ καὶ γυμνά. *Sic Proclus apud Epiphanium,* γυμνὰ καὶ ἄσπαρτα βάλλεται εἰς γῆν, καὶ τελεσφορούμενα ἀποδίδοται. *Sic Apostolus ad Corinth.* 1. 15. 37. ὁ τὸ σῶμα γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον.

Ὄρνεον γάρ ἐστι ὃ προσονομάζεται Φοῖνιξ. *De Phœnice, ave* πολυθρυλλήτῳ, *& resurrectionis symbolo, multi multa, Patres græci & latini, historici, & philosophi, stricta & soluta oratione. Maximus autem contra Severi dogmata ad Petrum Illustrium, fabulam conatur ostendere, quæ de ea narrantur, nullumq; animal* μοναδικὸν *esse contendit,* οὐδέ τι τῶν ὑπὸ γένεσιν καὶ φθορὰν ἐμψύχων καὶ αἰσθητικῶν σωμάτων *(vt ille loquitur)* μοναδικῶς ὑπάρχειν καθ' ὑπόστασιν φύσεως· ὧν ἡ ἐξ ἀλλήλων κατ' εἶδος διαδοχὴ, ἀϊδίου χαρακτὴρ τοῦ εἶναι, καὶ ὅρος ἐστί. *Ego licet, incerta sint quædam quæ de hoc alite feruntur, & fabulosis aucta*

(vt

(vt Tacitus annalium lib.6.) cæterùm eſſe eiuſmodi volucrem, quæ rediviuo ſuæ carnis humore reparetur, & de ſuo ſurgat rogo, corporiſq́; ſui hæres, & cineris ſui fœtus ſit, & quòd in Ægypto etiam aliquando aſpiciatur, cum illo non ambigo: maloq́; cum Clemente noſtro viro Apoſtolico, Tertulliano, Origene, Cyrillo Hieroſ., Euſebio, Nazianzeno, Epiphanio, Syneſio, Hieronymo, Ambroſio, Lactantio, Plinio, Seneca, Mela, Solino, Philoſtrato, Libanio, & alijs, errare, quàm Maximum et eius ſequacium opinionem ſequi, qui τὴν παντοκρατορικὴν τοῦ δημιουργοῦ δύναμιν *rationis humanæ imbecillitate metiuntur, et ancillantis naturæ legibus, naturæ dominum circumſcribunt. Maximo autem Origenem oppono, qui lib.4. contra Celſum, ſecundùm naturam hoc fieri poſſe aſſerit, eius verba ita ſe habent,* δύναται καὶ αὐτὸ φυσικὸν τυγχάνειν, ἐπιδεικνυμένης τῆς θείας προνοίας καὶ ἐν ταῖς διαφοραῖς τῶν ζώων, παριστάσης τοῖς ἀνθρώποις τὸ ποικίλον τῆς τῶν ἐν κόσμῳ κατασκευῆς, φθάνον καὶ ἐπὶ τὰ ὄρνεα· καὶ ζῶον τι μονογενὲς ὑπέστησεν, ἵνα κἂν τούτῳ ποιήσῃ θαυμασθῆναι, οὐ τὸ ζῶον, ἀλλὰ τὸν πεποιηκότα αὐτό. *Et pleniſſimo huic et firmiſſimo (vt Tertulliani verbis vtar) reſurrectionis ſpecimini, ex Methodio, etiam noviſſimi diei non abſimile in natura indicium et documentum, addo; Pyragnum, ſcilicet, plantam, quæ ardente Olympo in medijs flammis viret et floret, ac ſi iuxta aquarum decurſus plantaretur, ſed præſtat ipſum audire, qui miraculi huius* αὐτόπτης *fuit.*

Ἐθεασάμην ἐν Ὀλύμπῳ ἐγὼ πῦρ αὐτομάτως κατὰ τὴν ἀκρώρειαν τοῦ ὄρους κάτωθεν ἐκ τῆς γῆς ἀναδιδόμενον, περὶ ὃ πύραγνος φυτόν ἐστιν, οὕτω μὲν εὐθαλὲς καὶ χλοερόν, οὕτω δὲ εὔσκιον, ὡς ὑπὸ πηγῆς μᾶλλον αὐτὸ βεβλαστηκέναι. δι' ἥντινα οὖν αἰτίαν, εἰ φύσεις εἰσὶ φθαρτῶν, καὶ ὑπὸ πυρὸς καταναλισκομένων σωμάτων, οὐ μόνον οὐ καταφλέγεται τὸ φυτὸν τοῦτο, ἀλλὰ μᾶλλον ἀκμαιότερον ὑπάρχει, εἰ τῇ φύσει ἐστὶν εὔκαυστον, καὶ ταῦτα περὶ αὐτὰς αὐτοῦ τὰς ῥίζας τοῦ πυρὸς ἐντυφομένου; κλάδους γοῦν ἐγὼ δένδρων ἐκ τῆς παρακειμένης ὕλης ἐπέρριψα. καθ' ὃν ἀνήφθη τὸ πῦρ τόπον, καὶ εὐθέως εἰς φλόγα ἀρθέντες ἐτεφρώθησαν. Τί οὖν βούλεται τὸ παράδοξον δεῖγμα τοῦτο τῆς μελλούσης ὁ θεὸς ἡμέρας καὶ προοί- | Phot. bibl. pag. 923. edit. Schot. ἴσ, ἐπὶ πηγῆ.

μιον

μονεῖσθαι, ἵνα γινώσκωμεν ὅτι πάντων πυρὶ κατομβρουμένων, τὰ ἐν ὀρνέου σώματα διατηρήσαντα καὶ δικαιοσύνην. καθάπερ ψυχρῷ ὕδατι πυρὶ ἐπιβάσαν). *Verùm solertibus naturæ mystis, abditas harum rerum caussas curiosius indagãdas relinquo, et cum Cyrillo Alexandrino, de ceto qui Ionam Dei iussu devoravit, verba faciente, locum hunc concludo.* Φαίη δ' ἄν τις ὅτι παράδοξον ἀληθῶς, καὶ λόγου καὶ συνηθείας ἐπέκεινα, τοῦτ' ἂν εἰκότως τὸ συμβεβηκός. ἀλλ' εἰ θεὸς λέγοι τὸ κατορθοῦν, τίς ὁ ἀπιστῶν ἔτι; παναλκὲς γὰρ τὸ θεῖον, καὶ τὰς τῶν ὄντων φύσεις μεταπλάττειν εὐκόλως, πρὸς ὅπερ ἂν ἕλοιτο, καὶ τοῖς ἀῤῥήτοις αὐτοῦ δυνάμεσι. τὸ αὐτεξούσιον ἰσχυρό. τὸ γὰρ φθείρεσθαι πεφυκὸς, κρεῖττον ἂν γένοιτο καὶ φθορᾶς αὐτοῦ ἐθέλοντος, καὶ τὸ πιστὸν δὲ καὶ ἀκράδαντον, καὶ τοῖς τῆς φθορᾶς δυσάντητον νόμοις· πάθοι ἂν εὐκόλως φθοράν· φύσις γὰρ, οἶμαι, τοῖς οὖσι, τὸ τῷ κτίσαντι δοκοῦν. *Sed dum hæc scribimus, longè funestissimum nuntium huc allatum est, de cæde incomparabilis Herois, et Regis bellicosissimi, GVSTAVI verè Augusti, Phœnicis huius seculi; cuius egregia facinora æternus annalium honor celebrabit: nos subitam heu nimis et immaturam orbi Christiano eius mortem (si vera sunt quæ tristi fama percrebrescunt) similitudine à Phœnice sumpta, et verbis Libanij, in necem strenui bellatoris, sed longè dissimilis Principis, non ineptè deflere possumus, si tantam, et tam calamitosam, tanti Ducis iacturam, verba vlla, satis exprimere valerent.* Ὤχετο γεύσας μὲν ἀγαθῶν τὴν οἰκουμένην, κορέσας δὲ οὐκ ἀρκέσας· ἀλλ' ἀπεπόνθαμεν διὸν οἱ περὶ φοίνικι, τῷ ὄρνιθι πάθεσι, διὰ πλείους μὲν τῆς γῆς ἐκτεῖναι τὴν πτῆσιν, εἶναι δὲ μηδαμοῦ, μήτε ἀρχῶν, μήτε ἀσινεῖ· ἀμυδρὰ γὰρ οὕτως ἂν γένοιτο τοῖς ἀνθρώποις. ἡ τῆς ὄρνιθος ὄψις· καὶ νῦν ἦν οὗτος ἀπέδωκεν εὐδαιμονίαν, ὥσπερ ὑπόπτερος διέδραμε: *nisi Deus Opt. Max. Ecclesiæ suæ misertus, ex eius favillis, novum et redivivum alium Phœnicem laboranti suo populo suscitaverit; quod ut faciat, votis assiduis et ardentibus flagitare non cessabimus.* γένοιτο, γένοιτο.

Pag. 35. Πρὸς ἀπόλυσιν τῆς ἀποθανεῖν. *Boisius legendum monuit,* πρὸς ἀπόλυσιν, καὶ χωρὶς τοῦ ἀποθανεῖν. *Quod Epiphanius sit*

ſic exprimit, ἵνα ἤδη γνῶ τὸν καιρὸν τῆς αὐτοῦ τελευτῆς ἐνστάντα. *& Ambroſius*, quæ cùm finem vitæ ſibi adeſſe adverterit. *et Tacitus*, Confecto quippe annorum numero, vbi mors propinquet, ſuis in terris ſtruere nidum, &c.

Pag. 38. Ἐὰν καταστρώσω εἰς τὰς ἀβύσσους. *Sic Iob.* 17. 12. ἐν δὲ γνόφῳ ἔστρωταί μου ἡ στρωμνή. *verbum autem* καταστρωννύειν *hoc loco, proximè accedit ad fontem hebraicum.*

Pag. 39. Ἔπαινος ἡμῶν ἔστω ἐν Θεῷ. *fortè*, ἐκ Θεοῦ.

Διδόσθω ὑπ' ἄλλων. *Sic Proverb.* 27. 2. ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα, ἀλλότριος καὶ μὴ τὰ σὰ χείλη. In proprias enim laudes odioſa eſt iactatio, *vt Cyprianus ad Donatum loquitur. & vt Plinius epiſt. 8. lib. 1. eleganter*, quod magnificum referente alio fuiſſet, ipſo qui geſſerat recenſente, vaneſcit. *Et Clemens noſter infra pag.* 50. ὁ ταπεινοφρονῶν μὴ ἑαυτῷ μαρτυρείτω, ἀλλ' ἐάτω ὑφ' ἑτέρου μαρτυρεῖσθαι.

Pag 40. Τὸ δωδεκάσκηπτρον. *hoc eſt*, τὸ δωδεκάφυλον. σκῆπτρον *enim pro* φυλῇ *ſumitur*; *vt Reg.* 11. 31. Καὶ δώσω σοι δέκα σκῆπτρα, καὶ δύο σκῆπτρα ἔσονται αὐτῷ. *Sic etiam Clemens noſter paginâ ſequente*, τὰ δὲ λοιπὰ σκῆπτρα.

Pag. 44. Ἐν συνειδήσει. *fortè* καὶ τῇ συνειδήσει. *vel potius* συνείδησιν. *ſic etiam ſupra pag.* 4. μετ' ἐλέους καὶ συνειδήσεως *fortè* συνειδήσεως, *legendum eſt.*

Pag. 46. Ταῦτα οἱ πράσσοντες. *Hæc* αὐτολεξεὶ *fere apud Paulum ad Romanos capite primo, & verſu vltimo.*

Pag. 47. Ἀναθάλλει εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς. *fortè* ἀναθρεῖ *vel* ἀναθεωρεῖ, *i.e. diligenter & attentè contemplatur: vel potius integer locus ſic legendus eſt*, διὰ τούτου ἐν τῇ ἀσυνέτῳ καὶ ἐσκοτισμένῃ διανοίᾳ ἡμῶν, ἀνατέλλει τὸ θαυμαστὸν αὐτοῦ φῶς, *vbi phraſi Paulina ad Rom.* 1. 21. διάνοιαν *noſtram*, ἀσύνετον *&* ἐσκοτισμένην *vocat.*

Ὡς ἐν ἀπαυγάσματι. Hæc ex Epistola ad Hebræos, & capite primo, eisdem ferè verbis deprompta sunt, vnde, & ex alijs locis, ὁμοιότης τοῦ χαρακτῆρος τῆς φράσεως, καὶ τῶν νοημάτων, vt loquitur Eusebius, inter hanc Clementis, & Epistolam ad Hebræos facilè liquet.

Pag. 50. Ἕτερος ἐστὶν ὁ ἐπιχορηγῶν. *Cyprianus ad Donatum de gratia diuinæ efficacia eleganter,* Dei est, inquam, Dei omne quod possumus, inde viuimus, inde pollemus, &c. *vbi ad verba Diui Pauli Act. 17. 28. alludere videtur.* Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.

Pag. 53 Μωμοσκοπηθέν. *Sacerdotes non tantum Iudæorum, sed Gentium etiam, hostias probare solebant, & victimarum præcordia diligenter inspicere & examinare, antequam litarent. quòd οἱ ἔξωθεν, δοκιμάζειν et ἐξετάζειν τὰ ἱερεῖα, vocant, scriptores autē sacri μωμοσκοπεῖν Vnde Philo Iudæus* περὶ γεωργίας· Ἄτοπον γὰρ ἱερέων μὲν πρόνοιαν ἔχειν, ὡς ὁλόκληροι τὰ σώματα καὶ παντελεῖς ἔσονται, τῶν τε καταθυομένων ζῴων, ὡς οὐδὲν ὑστερεῖ τὸ προσῆπται, ἀλλ' οὐδὲ τῇ βραχυτάτῃ χρήσηται λώβῃ· καὶ τινάς γε δὴ καὶ ζώους ἐπ' αὐτὸ τοῦτο χειροτονεῖν τὸ ἔργον, οὓς ἔνιοι μωμοσκόπους ὀνομάζουσιν, ἵνα ἄμωμα καὶ ἀσινῆ προσάγηται τῷ βωμῷ τὰ ἱερεῖα, *&c. vbi nominis rationem obseruare licet, & quòd infrequenter ante ipsum, & à quibusdam tantùm vsurparetur. Vt vt est, libro de sacrificijs, & initio tractatus de sacrificantibus, ostendit summam curam adhibitam fuisse in deligendis his* μωμοσκόποις ἀριστίνδην, *qui accurato examine sacrificia singula, & partes singulas scrutarentur* ἀπὸ ποδῶν ἄκρων, ὅσα τε ἐμφανῆ, καὶ ὅσα ὑπὸ γαστρὶ, καὶ μηροῖς ἀποκέκρυπται), *ne quid vitij, corruptelæ, aut labis lateret. Sic Clemens Alex. lib. 4. Strom* ἤδη δὲ καὶ ταῖς τῶν θυσιῶν προσαγωγαῖς παρὰ τῷ νόμῳ, οἱ τῶν ἱερείων μωμοσκόποι. *Et Chrys. hom. 20. in Epist. ad Romanos, de præuia examinatione nostra corporis & animi, antequam ad sacram synaxin accedere præsumamus, sic scribit.* Διὸ καὶ παντοχόθεν μωμοσκο-

μωμοσκοπεῖσθαι τὸ σῶμα τί ἦν ἔπρεπεν. εἰ γὰρ οἱ τοὺς παλαιὰς ἀναφέροντες θυσίας ἐκελεύοντο πάντα περισκοπεῖν, καὶ ὅτι, οὔτε ἐπίτμητον, οὔτε κολοβόκερκον, ὅτι ψωραγριῶντα, ὅτι λειχῆνα ἔχοντα ἐπετρέποντο ἀναφέρειν· πολλῷ μᾶλλον ἡμᾶς οὐ πρόβατα ἄλογα, ἀλλ' ἑαυτοὺς ἀναφέροντας, πλείονα ἀκρίβειαν ἐπιδείκνυσθαι χρὴ, καὶ πάντοθεν εἶναι καθαρούς. *&c. Et homil. 17. in epist. ad Hebraos.* Διὰ τοῦτο καὶ ὁ ἱερεὺς ἐπιφωνεῖ τότε τοὺς ἁγίους καλῶν, καὶ διὰ τῆς φωνῆς ταύτης μωμοσκοπῶν ἅπαντας, ὥστε μὴ προσελθεῖν τινα ἀπαράσκευον, *&c. Dominus Dunæus in annotationibus suis, pro* μωμοσκοπῶν *hoc loco* μιμνήσκων *reponendum putat, ego verò* μωμοσκοπῶν *retinenere malim; cum Chrysostomus, solennem illam vocem in participatione* τῶν φρικτῶν μυστηρίων *in primitiua Ecclesia vsurpari solitam, respiciat:* Ὅσοι ἐν μετανοίᾳ, ἀπέλθετε πάντες *&* Ἀπέλθετε οἱ μὴ δυνάμενοι δεηθῆναι. *Vide eiusdem homil. 3. in epistolam ad Ephesios, et diligenter perpende.*

Pag. 57. ἐπινομὴν δεδώκασιν. *Boisius* ἐπιλογὴν *legit, ego malim* ὑπονομὴν, *i. e.* ἀπομερισμὸν *cum Hesychio, et cum Suida* ὑπομοίραν. *Descriptæ autem ministeriorum et officiorum vices hac voce exprimuntur, quæ apud Dionysium Areopagitam* τάξεις *et* ἀπονεμήσεις, *Budæo teste, vocantur: atq; hoc sensu vox,* census, *apud Tertullianum fortè accipienda est, de præscript. adversus hæreticos cap. 32.* Hoc enim modo Ecclesiæ Apostolicæ census suos deferunt, sicut Smyrnæorum ecclesia habens Polycarpum ab Iohanne conlocatum refert; sicut Romanorum Clementem à Petro ordinatum edit; proinde vtiq; et cæteræ exhibent, quos ab Apostolis in Episcopatum constitutos, Apostolici seminis traduces habeant, *&c. Vbi census suos deferre, est, ordinem Episcoporum suorum ad originem recensere, vt ipse lib. 4. adversus Marcionem cap. 5. loquitur (vbi etiam vox hæc, census, legitur, prout libro primo contra eundem et cap. 21. bis)* Ordo tamen Episcoporum ad originem.

nem recensus, in Iohannem stabit authorem: sic et cæterarum generositas recognoscitur. *alibi, libros censuales vocat; verùm de re dubia satis.*

Pag. 59. Εἰς τοσοῦτο ἐξήγειρσαι θυμοῦ. *Boisius legendum putat,* ἐξήρθαι *vel* ἐξηγμένοι, *vel* ἐξωκεῖλαι; *quid si* ἐξήγειραν, *ut in initio,* εἰς τοσοῦτον ἀπονοίας ἐξήγειραν, *licet literarum affinitas huic lectioni nō adeo faueat, vel* ἐξήρπασαν *scil.* ἑαυτούς, *phrasi græcis et latinis scriptoribus non inusitata.*

Επαφοιέγγροιζ. *Boisius legit* ἐλαφρεῖν *vel* αἰθριᾶν. *Ego malim* ἐλαφρίζόμενοι *legere cum Philone Iudæo, qui hanc vocem cum* ἐπαναστιζῶν *eandem facit, et sæpius coniungit. Sic* περὶ εὐσεβείας, Τότε δὲ ὑπὸ τῆς ἀσωτείας παιδείας ἐπανορθουμένων καὶ ἐπελαφριζομένων ὀλίγον ἰσχύει βλάψαι. *Et de mundo,* Τοὺς κούφους καὶ βάρος ἔχοντας ἐπελαφρίζοντας, καὶ ἄνω πάντας ἀναβιβάσας. *Synesius de insomniis voce simplici in eadem significatione vtitur,* Τοὺς τε ἀέρας ἕξεις ἐν ψυχαῖς ἐλαφρίζοντας αὐτὴν καὶ ἐναποτιθεμένας κηλῖδα τῆς χείρονος. *Non sum nescius tamen Chrysost. homil. 44. in Genesin, vbi comparationem inter tres pueros in caminum ignis coniectos, et Iosephum eiusq́ continentiam et castitatem instituit, voce* αἰνιττόμενον *vti, quam lectionem non improbo. Eius verba, ita se habent,* Οὐχ οὕτω θαυμαστὸν εἶναι μοι δοκεῖ, τὸ τοὺς τρεῖς παῖδας ἐκείνους, ἐν μέσῳ τῇ καμίνῳ τῇ βαβυλωνίᾳ ἐκείνῃ, τὸ πυρὸς αὐτοῖς φλόγα, καὶ μηδὲν πλέον τὰ σώματα αὐτῶν παθεῖν ὡς θαυμαστὸν καὶ παράδοξον, τὸ δίκαιον τοῦτον εἰς τὴν κάμινον ταύτην, τὴν τῆς βαβυλωνίας χαλεπωτέραν ἐμπεσόντα, τὸ ἀσέλγειαν λέγω τῆς αἰγυπτίας, ἄπυρον διαμεῖναι, καὶ καθαρὸν τὸ σωφροσύνης τὸ ἔνδυμα διατηρήσαντα, οὕτως ἐξελθεῖν.

Pag. 61. Ἐν ἀρχῇ τοῦ εὐαγγελίου. Εὐαγγέλιον *hoc loco latè sumitur, et Apostolorum scripta comprehendit, vt apud Nyssenum, qui contra Apollinarem locum ex Epistola Iohannis laudans, scribit,* καθὼς φησι τὸ εὐαγγέλιον. ὅλον τοῦτο τὸν κόσμον ἐν τῷ πονηρῷ κεῖσθαι. *Sic legis nomine non tantùm* πεντάτευχον *Moysis, sed Prophetarum etiam interpretationes, et reliqui veteris Testamenti*

stamenti libri intelliguntur. Vnde Iohannis cap. 10.34. locus Psalmistæ, Ἐγὼ εἶπα θεοί ἐστε, *scriptus esse dicitur* ἐν τῷ νόμῳ· *et cap. 15. eiusdem Evangelij vers. 25.* ὅτι ἐμίσησάν με δωρεάν, *quæ verba sunt Psalmistæ, Psal. 34. 19.* ἐν τῷ νόμῳ, *scripta esse dicuntur. et ad Corinth. 1.14. 21. locus Esaiæ, ab Apostolo* ἐν νόμῳ *scriptus esse dicitur. Ignorantia huius latioris acceptionis in errorem quosdam induxit, qui Moysis tantùm quinq; libros à 70 Senioribus in linguam græcam versos esse opinantur, quia apud quosdam Patres inveniatur, ex Hebraico fonte illos* τὸν νόμον *transtulisse, ac si legis nomine, libri Moysis tantùm intelligendi essent. sed de versione τῶν* ο, *aliàs fortasse commodior disserendi occasio dabitur.*

Pag. 63. Ζητεῖ τὸ κοινωφελές. *Chrysostomus ad illud Pauli Corinth. 1. 11.* μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσι. *dicit publicum ecclesiæ bonum quærere, et aliorum salutem privato commodo anteponere, canonem esse Christianismi perfectißimum.* Τοῦτο κανὼν χριστιανισμοῦ τοῦ τελεωτάτου, τοῦτο ὅρος ἠκριβωμένος, αὕτη ἡ κορυφὴ ἡ ἀνωτάτω, τὸ τὰ κοινῇ συμφέροντα ζητεῖν.

Pag. 64. Ἀγάπη κολλᾷ ἡμᾶς. *Hoc loco Paulum imitatur ad Corinthios 1. 13. vbi charitatis, et mutuæ dilectionis, elegantißima descriptio est; et Ephraëm Syrus tractatu* περὶ ἀρετῶν καὶ κακιῶν *vtriusq; vestigijs insistit, cuius verba cùm græcè non exstent, placet hîc subiungere.* Μακάριος ὁ ἄνθρωπος ἐκεῖνος ὁ ἔχων ἀγάπην Θεοῦ, ὅτι τὸν Θεὸν ἐν αὐτῷ περιφέρει, ὅτι ὁ Θεὸς ἀγάπη ἐστίν. καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ Θεῷ μένει· ὁ ἔχων ἀγάπην πάντων σὺν Θεῷ περιγίνεται· ἡ γὰρ ἀγάπη ἔξω βάλλει τὸν φόβον. ὁ ἔχων ἀγάπην, οὐ δύναται βδελύσσεσθαί ποτε, οὐ μικρὸν, οὐ μέγαν, οὐκ ἔνδοξον, οὐκ ἄδοξον, οὐ πένητα, οὐ πλούσιον, ἀλλ' ἁπάντων περίψημα γίνεται, πάντα στέγει, πάντα ὑπομένει· ὁ ἔχων ἀγάπην, οὐκ ἐπαίρεται κατά τινος, οὐ φυσιοῦται, οὐδενὸς καταλαλεῖ, ἀλλὰ τοὺς καταλαλοῦντας ἀποστρέφεται. ὁ ἔχων ἀγάπην ἐν δόλῳ οὐ περιέρχεται, οὐχ ὑποσκελίζει τὸν ἀδελφόν· ὁ ἔχων ἀγάπην οὐ φθονεῖ, οὐ ζηλοῖ, οὐ βασκαίνει, οὐ χαίρει ἐπὶ πτώσει ἑτέρων, οὐ διασύρει τὸν πταίοντα, ἀλλὰ συλλυπεῖται καὶ συναντιλαμβάνεται· οὐ παρορᾷ τὸν ἀ-

ἀλλ᾽ ὅθεν ἐν τῷ ἀγνοεῖν, ἀλλὰ συνεπικαμπτόμενοι καὶ συναποθνήσκει· ὁ ἔχων ἀγάπην, τὸ θέλημα ποιεῖ τοῦ Θεοῦ, καὶ μαθητὴς τῆς ἀληθείας ὑπάρχει. Αὐτὸς γὰρ ὁ καλὸς δεσπότης ἡμῶν εἶπεν, ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. ὁ ἔχων ἀγάπην οὐδέποτε ἑαυτὸν περιποιεῖται, οὐ λέγει ἑαυτοῦ τι ἴδιον εἶναι, ἀλλὰ πάντα ὅσα ἔχει, κοινὰ τοῖς πᾶσι προτίθησιν· ὁ ἔχων ἀγάπην, ἀλλότριον οὐδένα λογίζεται, ἀλλὰ πάντας ἰδιοποιεῖται· ὁ ἔχων ἀγάπην, οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἐξάπτεται εἰς ὀργὴν, οὐ χαίρει ἐπὶ ἀδικίᾳ, ἐπὶ ψεύδει οὐκ ἐνδελεχίζει, ἐχθρὸν οὐδένα ἡγεῖται, εἰ μὴ μόνον τὸν διάβολον· ὁ ἔχων ἀγάπην, πάντα ὑπομένει, χρηστεύεται, μακροθυμεῖ. Μακάριος οὖν ὁ τὴν ἀγάπην κεκτημένος καὶ μετὰ ταύτης ἀποδημήσας πρὸς Θεὸν, ἐπεὶ αὐτὸς τὸν ἴδιον ἐπιγινώσκων, προσδέξεται αὐτὸν ἐν τοῖς κόλποις αὐτοῦ ὁ ἐπουράνιος γὰρ ἀγγελοποιήσει, καὶ σὺν Χριστῷ βασιλεύσει ὁ τῆς ἀγάπης ἐργάτης. Δι᾽ αὐτῆς γὰρ καὶ ὁ Θεὸς λόγος ἐπὶ τῆς γῆς παρεγένετο, δι᾽ αὐτῆς καὶ ὁ παράδεισος ἠνέῳκται ἡμῖν, καὶ ἄνοδος εἰς οὐρανὸν ὑπεδείχθη πᾶσιν· ἐχθροὶ ὑπάρχοντες τῷ Θεῷ δι᾽ αὐτῆς κατηλλάγημεν· εἰκότως οὖν εἴπωμεν, ὅτι ἀγάπη ὁ Θεός ἐστιν, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει.

Pag 67. Ἀπροσδεὴς, ἀδελφοὶ, ὁ δεσπότης. *Sic Iustinus Martyr ad Diognetum*, Ὁ γὰρ ποιήσας τὸν οὐρανὸν, καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς καὶ πᾶσιν ἡμῖν χορηγῶν ὧν προσδεόμεθα, οὐδενὸς ἂν αὐτὸς προσδέοιτο τούτων ὧν τοῖς οἰομένοις διδόναι παρέχει αὐτός. *Et Cyrillus de Festis Paschalibus homil. 22.* ἀπροσδεὲς γὰρ τὸ θεῖον, καὶ ζωοποιεῖ μὲν τὰ πάντα, δεῖται δ᾽ οὐδαμῶς αὐτὸ τῶν τοιούτων οὐδενός.

Pag 69. Εἰ δι᾽ ἐμὲ στάσις. *Epiphanius lib. 1. adversus Carpocrasios, ubi mentionem Clementis nostri facit, ad hunc locum respicit, scribens*, λέγει γὰρ ἐν μιᾷ τῶν ἐπιστολῶν αὐτοῦ. Ἀναχωρῶ ἄπειμι, εὐσταθείτω ὁ λαὸς τοῦ Θεοῦ &c. *ubi* εὐσταθείτω *legendum puto, pro quo Clemens noster* εἰρηνευέτω *habet. Quantùm fraternitatem universam dilexerit*, τὸ κοινωφελὲς *quæsiverit, et paci Ecclesiæ, vir hic sanctus, studuerit; et quàm abominanda ipsi fuerint schismata, quæ Christi* τὸν ἄρραφον καὶ ἄρρηκτον χιτῶνα σχίζουσι, *ex hoc loco facile apparet: nullum enim gravius peccatum admitti potest, quam unionem Ecclesiæ scindere, authore Cypriano, qui libro de unitate Ecclesiæ, inexpiabilem discordiæ maculam martyrij sanguine ablui, et passione purgari*

gari negat; quod Chrysostomus homil. 11. *ad Ephesios suppresso nomine, audax sed verum esse dictum pronuntiat. Eius verba ita se habent.* Ἀνὴρ δέ τις ἅγιος εἶπέ τι δοκοῦν εἶναι τολμηρὸν, πλὴν ἀλλ' ὅμως ἐφθέγξατο· τί δὲ τοῦτο ἐστιν; οὐδὲ μαρτυρίου αἷμα ταύτην δύνασθαι ἐξαλεῖψαι τὴν ἁμαρτίαν ἔφησεν. *&c: qui paulò infra eâdem homiliâ, se pacis studio omnia postponere, immo et Episcopatum ipsum abdicare, paratum esse profitetur, modò vnitas Ecclesiæ conseruetur.* Εἰ μὲν οὖν περὶ ἡμῶν ταῦτα ὑποπτεύετε, ἕτοιμος παραχωρῆσαι τῆς ἀρχῆς, ὅτῳ γὰρ ἂν βούλοισθε· μόνον ἐκκλησία ἔστω μία. *in quo Clementem nostrum* ὑπογραμμὸν *sibi proposuisse, & locum hunc, ad quem alludit, præ oculis habuisse, verisimile est.*

Pag. 74. Ἐκ τῆς ἐλπίδος. *Fortè* κιγκλίδος, *vel* ἐπαυλίδος *potius. Basilius in Psal.* 28. *homil. prima,* μία ἐστὶν αὐλὴ, ἁγία τοῦ θεοῦ ἐκκλησία· ἦν αὐλὴ πρότερον, ἡ τῶν ἰουδαίων συναγωγὴ, ἀλλὰ μετὰ τὴν εἰς χριστὸν ἁμαρτίαν ἐγένετο ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη.

Pag. 75. *Desideratur hîc in exemplari antiquo folium integrum, quod quatuor impressi codicis folia constituit. Si vnius tantùm aut alterius vocis defectus fuisset, & paucarum literarum lacuna, medicinam qualemcunque huic loco malè affecto, non minus quàm alijs afferre conati fuissemus, sin minus pristinæ sanitati & integritati reddere, licuisset: sed* πάθος *est* ἀνίατον. *& vulnus maius quàm vt vllo coniecturæ emplastro tegi possit; exspectandus est ex Ægypto vel Græcia novus Æsculapius, qui Clementi nostro* ποδαγρῶντι *subveniat. Quæ in reliquo corpore medicam manum prorsus refugere non videbantur, pro facultatis nostræ modulo sarcire &* καταρτίζειν *conati sumus; quàm benè penes doctos, et artis Criticæ mystas, iudicium esto. Passim autem in membranis ex quibus epistola hæc descripta est, observare licet* ν *finale additum esse tertijs personis verborum, desinentibus in* ε *& in* ι, *licet sequentis dictionis litera initialis sit consona, contra receptum et communem scri-*

 bendi

bendi vsum; quod summæ antiquitatis non leue argumentum est, cùm in antiquis marmoribus, et MSS. omnibus codicibus, qui grandioribus literis exarati sunt, eadem scribendi forma reperiatur.

Sed manum de tabula, præter enim operas typographicas, quæ desinente iam opere plus solitò festinant, et notas has abrumpunt; muneris nostri cura, et familiæ privata negotia domum revocant, nec sine dispendio diutius abesse sinunt. Si ῥακώματα *hæc nostra,* Benigne lector, *purpuræ Clementinæ assuta, non indignè te ferre, (cùm scias, vt loquitur Libanius, ad Evagoram epistolâ nondum editâ,* ὅτι καὶ ῥάκια, καὶ τὴν καλλίστην ἐσθῆτα, πολλάκις ἓν δέχεται κιβώτιον*) et primitias has subita manu collectas, quas nunc in ara benevolentiæ tuæ colloco, palato tuo non ingratas esse, nec omnino displicere intellexero: postea si Deus vitam cum valetudine indulserit, largioribus manipulis sinum implebo, et vberiorem messem adolebo. Interea his fruere, et Ornatissimo humanissimoq; Viro, Domino Doctori* Duppa, *celeberrimæ Academiæ Oxoniensis Vicecancellario dignissimo, gratias mecum agito; qui dum opus hoc vrgeo, humanitate me singulari et benevolentia complexus est, qui thesauros Academiæ reclusit, qui typos Savilianos* πρόφρονι θυμῷ *communicavit, qui lentas typographorum moras authoritate sua castigavit, et aucto operariorum numero, editionem hanc multum promovit. Errata quæ à nobis, vel typographis, commissa sunt, humaniter condona, festinationi da veniam; et quales alios tibi fieri velis, talem te nobis præbe. Vale, et humanum esse, errare, memineris.*

Τῷ τρισαγίῳ Θεῷ, δόξα,
καὶ χάρις.



FRAGMENTVM
EPISTOLÆ SECVNDÆ
EX EODEM *MS.*

Ἀδελφοί, οὕτως δεῖ ἡμᾶς φρονεῖν περὶ Ἰησοῦ Χριστοῦ, ὡς περὶ Θεοῦ, ὡς περὶ κριτοῦ ζώντων καὶ νεκρῶν. καὶ οὐ δεῖ ἡμᾶς μικρὰ φρονεῖν περὶ τῆς σωτηρίας ἡμῶν, ἐν τῷ γὰρ φρονεῖν ἡμᾶς μικρὰ περὶ αὐτοῦ, μικρὰ καὶ ἐλπίζομεν λαβεῖν. * Καὶ οἱ ἀκούοντες * ὥσπερ μικρῶν ἁμαρτάνομεν, οὐκ εἰδότες πόθεν ἐκλήθημεν, καὶ ὑπὸ τίνος, καὶ εἰς ὃν τόπον, καὶ ὅσα ὑπέμεινεν Ἰησοῦς Χριστὸς παθεῖν ἕνεκα ἡμῶν. Τίνα οὖν ἡμεῖς αὐτῷ δώσομεν ἀντιμισθίαν; ἢ τίνα καρπὸν ἄξιον, οὗ ἡμῖν αὐτὸς ἔδωκεν; πόσα δ᾽ αὐτῷ ὀφείλομεν ὅσια; τὸ φῶς γὰρ ἡμῖν ἐχαρίσατο, ὡς πατὴρ υἱοὺς ἡμᾶς προσηγόρευσεν, ἀπολλυμένους ἡμᾶς ἔσωσεν. * Ποίων αἶνον αὐτῷ δώσομεν, ἢ * μισθὸν ἀντιμισθίας ὧν ἐλάβομεν πηροὶ ὄντες τῇ διανοίᾳ, προσκυνοῦντες λίθους καὶ ξύλα, καὶ χρυσὸν καὶ ἄργυρον καὶ χαλκόν, ἔργα ἀνθρώπων. καὶ ὁ βίος ἡμῶν ὅλος ἄλλο οὐδὲν ἦν εἰ μὴ θάνατος. Ἀμαύρωσιν οὖν περικείμενοι, καὶ τοιαύτης ἀχλύος γέμοντες ἐν τῇ ὁράσει, ἀνεβλέψαμεν ἀποθέμενοι

ἴσ. χαίτοι.
ἴσ. ὡς περὶ.
ἴσ. Ποῖον οὖν.
ἴσ. μίσθον ἀντιμισθίας.

ἐκεῖνο ὃ περικείμεθα νέφος τῇ αὐτοῦ θελήσει· ἠλέησεν γὰρ ἡμᾶς
καὶ σπλαγχνισθεὶς ἔσωσεν, θεασάμενος ἐν ἡμῖν πολλὴν πλάνην
ἴσ. ἔχοντας καὶ ἀπώλειαν, καὶ μηδεμίαν ἐλπίδα * ἔχοντες σωτηρίας, εἰ μὴ
τὴν παρ' αὐτοῦ· ἐκάλεσεν γὰρ ἡμᾶς οὐκ ὄντας, καὶ ἠθέλησεν ἐκ
μὴ ὄντος εἶναι ἡμᾶς. Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον
καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου, μᾶλλον
ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ὃ εἶπεν, εὐφράνθητι στεῖρα ἡ οὐ τίκτου-
σα, ἡμᾶς εἶπεν, στεῖρα γὰρ ἦν ἡ ἐκκλησία ἡμῶν πρὸ τοῦ δο-
θῆναι αὐτῇ τέκνα· ὃ δὲ εἶπεν, βόησον ἡ οὐκ ὠδίνουσα, τοῦτο λέγει,
τὰς προσευχὰς ἡμῶν ἁπλῶς ἀναφέρειν πρὸς τὸν θεὸν, μὴ ὡς
αἱ ὠδίνουσαι ἐγκακῶμεν. ὃ δὲ εἶπεν, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρή-
μου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα· ἐπεὶ ἔρημος ἐδόκει εἶναι
ἴσ. ἀπὸ * ἀπὸ τοῦ Θεοῦ ὁ λαὸς ἡμῶν, νυνὶ δὲ πιστεύσαντες πλείονες ἐγενό-
μεθα τῶν δοκούντων ἔχειν θεόν. Καὶ ἑτέρα δὲ γραφὴ λέγει, ὅτι
οὐκ ἦλθον καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλούς· τοῦτο λέγει, ὅτι
δεῖ τοὺς ἀπολλυμένους σώζειν· ἐκεῖνο γάρ ἐστι μέγα καὶ θαυμαστὸν,
οὐ τὰ ἑστῶτα στηρίζειν, ἀλλὰ τὰ πίπτοντα· οὕτως καὶ ὁ Χριστὸς
ἠθέλησεν σῶσαι τὰ ἀπολλύμενα, καὶ ἔσωσεν πολλοὺς ἐλθὼν, καὶ κα-
λέσας ἡμᾶς ἤδη ἀπολλυμένους. Τοσοῦτον οὖν ἔλεος ποιήσαντος
αὐτοῦ εἰς ἡμᾶς· πρῶτον μὲν ὅτι ἡμεῖς οἱ ζῶντες τοῖς νεκροῖς
θεοῖς οὐ θύομεν, καὶ οὐ προσκυνοῦμεν αὐτοῖς, ἀλλὰ ἔγνωμεν δι'
αὐτοῦ τὸν πατέρα τῆς ἀληθείας· τίς ἡ γνῶσις ἡ πρὸς αὐτὸν, ἢ τὸ
μὴ ἀρνεῖσθαι δι' οὗ ἔγνωμεν αὐτόν; Λέγει δὲ καὶ αὐτὸς, τὸν ὁμο-
λογήσαντά με ἐνώπιον τῶν ἀνθρώπων, ὁμολογήσω αὐτὸν ἐνώπι-
ον τοῦ πατρός μου. Οὗτος οὖν ἐστιν ὁ μισθὸς ἡμῶν, ἐὰν οὖν ὁμολο-
γήσωμεν δι' οὗ ἐσώθημεν· ἐν τίνι δὲ αὐτὸν ὁμολογοῦμεν; ἐν τῷ
ποιεῖν

ποιεῖν ἃ λέγει, καὶ μὴ παρακούειν αὐτοῦ τὰς ἐντολάς, καὶ μὴ μόνον χείλεσιν αὐτὸν τιμᾶν, ἀλλ' ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης τῆς διανοίας. λέγει δὲ καὶ ἐν τῷ Ἠσαΐᾳ, ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἄπεστιν ἀπ' ἐμοῦ. Μὴ μόνον οὖν αὐτὸν καλῶμεν κύριον, οὐ γὰρ τοῦτο σώσει ἡμᾶς. λέγει γάρ, οὐ πᾶς ὁ λέγων μοι, κύριε, κύριε, σωθήσεται, ἀλλὰ ὁ ποιῶν τὴν δικαιοσύνην. ὥστε οὖν, ἀδελφοί, ἐν τοῖς ἔργοις αὐτὸν ὁμολογῶμεν, ἐν τῷ ἀγαπᾶν* αὐτοὺς, ἐν τῷ μὴ μοιχᾶσθαι, μηδὲ καταλαλεῖν ἀλλήλων, μηδὲ ζηλοῦν, ἀλλ' ἐγκρατεῖς εἶναι, ἐλεήμονας, ἀγαθούς. καὶ συμπάσχειν ἀλλήλοις ὀφείλομεν καὶ μὴ φιλαργυρεῖν. ἐν τούτοις τοῖς ἔργοις ὁμολογῶμεν τὸν θεόν, καὶ μὴ ἐν τοῖς ἐναντίοις. καὶ οὐ δεῖ ἡμᾶς φοβεῖσθαι τοὺς ἀνθρώπους, μᾶλλον ἀλλὰ τὸν θεόν. διὰ τοῦτο ταῦτα ὑμῶν πρασσόντων εἶπεν ὁ κύριος, Ἐὰν ἦτε μετ' ἐμοῦ συνηγμένοι ἐν τῷ κόλπῳ μου, καὶ μὴ ποιῆτε τὰς ἐντολάς μου, ἀποβαλῶ ὑμᾶς, καὶ ἐρῶ ὑμῖν, ὑπάγετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ, ἐργάται ἀνομίας. Ὅθεν, ἀδελφοί, καταλείψαντες τὴν παροικίαν τοῦ κόσμου τούτου, ποιήσωμεν τὸ θέλημα τοῦ καλέσαντος ἡμᾶς. καὶ μὴ φοβηθῶμεν ἐξελθεῖν ἐκ τοῦ κόσμου τούτου. λέγει γὰρ ὁ κύριος, Ἔσεσθε ὡς ἀρνία ἐν μέσῳ λύκων. ἀποκριθεὶς δὲ ὁ Πέτρος αὐτῷ λέγει, Ἐὰν οὖν διασπαράξωσιν οἱ λύκοι τὰ ἀρνία; Εἶπεν ὁ Ἰησοῦς τῷ Πέτρῳ, μὴ φοβείσθωσαν τὰ ἀρνία τοὺς λύκους μετὰ τὸ ἀποθανεῖν αὐτά. καὶ ὑμεῖς μὴ φοβεῖσθε τοὺς ἀποκτείνοντας ὑμᾶς, καὶ μηδὲν* ὑμῖν δυναμένους ποιεῖν. ἀλλὰ φοβεῖσθε τὸν μετὰ τὸ ἀποθανεῖν ὑμᾶς, ἔχοντα ἐξουσίαν ψυχῆς καὶ σώματος τοῦ βαλεῖν εἰς γέενναν πυρός. καὶ γινώσκετε, ἀδελφοί, ὅτι ἡ ἐπιδημία ἐν τῷ κόσμῳ τούτῳ τῆς σαρκὸς

ἴσ. αὐτὴν

ἴσ. πλέον

ταύτης

ταύτης μικρά ἐστι καὶ ὀλιγοχρόνιος, ἡ δὲ ἐπαγγελία τοῦ Χριστοῦ
μεγάλη καὶ θαυμαστή ἐστι, καὶ ἀνάπαυσις τῆς μελλούσης βασι-
λείας καὶ ζωῆς αἰωνίου. Τί οὖν ἐστι ποιήσαντας ἐπιτυχεῖν αὐτῶν;
Εἰ μὴ τὸ ὁσίως καὶ δικαίως ἀναστρέφεσθαι, καὶ τὰ κοσμικὰ ταῦτα
ὡς ἀλλότρια ἡγεῖσθαι, καὶ μὴ ἐπιθυμεῖν αὐτῶν. ἐν γὰρ τῷ ἐπι-
θυμεῖν ἡμᾶς κτήσασθαι ταῦτα, ἀποπίπτομεν τῆς ὁδοῦ τῆς δι-
καίας. Λέγει δὲ ὁ κύριος, Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις
δουλεύειν. ἐὰν ἡμεῖς θέλωμεν καὶ θεῷ δουλεύειν καὶ μαμμωνᾷ,
ἀσύμφορον ἡμῖν ἐστιν. Τί γὰρ τὸ ὄφελος, ἐάν τις τὸν ὅλον κόσμον
ἴσ. εἰσὶν κερδήσῃ, τὴν δὲ ψυχὴν ζημιώσῃ; ἔστιν * δὲ οὗτος, ὁ αἰών, καὶ ὁ μέλλων
δύο ἐχθροί, οὗτος λέγει μοιχείαν, καὶ φθοράν, καὶ φιλαργυρίαν,
καὶ ἀπάτην, ἐκεῖνος δὲ τούτοις ἀποτάσσεται. οὐ δυνάμεθα οὖν
τῶν δύο φίλοι εἶναι, δεῖ δὲ ἡμᾶς τούτῳ ἀποταξαμένους ἐκεί-
νῳ χρῆσθαι. Οἰόμεθα ὅτι βέλτιόν ἐστι τὰ ἐνθάδε μισῆσαι, ὅτι
μικρὰ καὶ ὀλιγοχρόνια, καὶ φθαρτά· ἐκεῖνα δὲ ἀγαπῆσαι τὰ
ἀγαθὰ καὶ ἄφθαρτα. Ποιοῦντες γὰρ τὸ θέλημα τοῦ Χριστοῦ
εὑρήσομεν ἀνάπαυσιν. Εἰ δὲ μήγε, οὐδὲν ἡμᾶς ῥύσεται ἐκ τῆς
αἰωνίου κολάσεως, ἐὰν παρακούσωμεν τῶν ἐντολῶν αὐτοῦ. λέγει
δὲ καὶ ἡ γραφὴ ἐν τῷ Ἰεζεκιήλ, ὅτι ἐὰν ἀνέστῃ Νῶε καὶ Ἰὼβ καὶ Δα-
νιήλ, οὐ ῥύσονται τὰ τέκνα αὐτῶν ἐν τῇ αἰχμαλωσίᾳ. Εἰ δὲ καὶ οἱ
τοιοῦτοι δίκαιοι οὐ δύνανται ταῖς αὐτῶν δικαιοσύναις ῥύσασθαι τὰ
τέκνα αὐτῶν, ἡμεῖς ἐὰν μὴ τηρήσωμεν τὸ βάπτισμα ἁγνὸν καὶ
ἀμίαντον, ποίᾳ πεποιθήσει εἰσελευσόμεθα εἰς τὸ βασίλειον τοῦ
Θεοῦ; ἢ τίς ἡμῶν παράκλητος ἔσται, ἐὰν μὴ εὑρεθῶμεν ἔργα ἔ-
χοντες ὅσια καὶ δίκαια; Ὥστε οὖν, ἀδελφοί μου, ἀγωνισώμεθα, εἰδό-
τες ὅτι ἐν χερσὶν ὁ αἰὼν καὶ ὅτι εἰς τοὺς φθαρτοὺς ἀγῶνας κατα-
πλέουσιν

πλέουσι πολλοί, ἀλλ' οὐ πάντες στεφανοῦνται, εἰ μὴ οἱ πολλὰ
κοπιάσαντες, καὶ καλῶς ἀγωνισάμενοι· ἡμεῖς οὖν ἀγωνισώμεθα,
ἵνα πάντες στεφανωθῶμεν· ὥστε * θῶμεν τὴν ὁδὸν τὴν εὐθεῖαν, ἴσ. τρέχωμεν.
* ἀγῶνα τὸν ἄφθαρτον, καὶ πολλοὶ εἰς ἑαυτὸν καταπλεύσωμεν, ἴσ. εἰς.
καὶ ἀγωνισώμεθα, ἵνα καὶ στεφανωθῶμεν. καὶ, εἰ μὴ δυνάμεθα ἅ-
παντες στεφανωθῆναι, κἂν ἐγγὺς τοῦ στεφάνου γενώμεθα. Εἰδέ-
ναι ἡμᾶς δεῖ ὅτι ὁ τὸν φθαρτὸν ἀγῶνα ἀγωνιζόμενος, ἐὰν εὑρεθῇ
φθείρων, μαστιγωθεὶς αἴρεται, καὶ ἔξω βάλλεται τοῦ σταδίου· τί δοκεῖτε, ὁ τὸν
τῆς ἀφθαρσίας ἀγῶνα φθείρας, τί πάθεται; τῶν γὰρ μὴ τηρησάντων,
φησὶ, τὴν σφραγῖδα, ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν
οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί· ὡς οὖν ἐσμὲν ἐπὶ
γῆς μετανοήσωμεν, πηλὸς γάρ ἐσμεν * εἰς τὴν χεῖρα τοῦ τεχ- ἴσ. ἐν τῇ
νίτου· ὃν τρόπον γὰρ ὁ κεραμεὺς ἐὰν ποιῇ σκεῦος, καὶ ἐν τῇ χειρὶ αὐ- χειρί.
τοῦ διαστραφῇ ἢ συντριβῇ, πάλιν αὐτὸ ἀναπλάσσει· ἐὰν δὲ
προφθάσῃ εἰς τὴν κάμινον τοῦ πυρὸς αὐτὸ βάλλειν, οὐκέτι βοη-
θήσει αὐτῷ· οὕτως καὶ ἡμεῖς ἕως ἐσμὲν ἐν τούτῳ τῷ κόσμῳ. ἐν τῇ
σαρκὶ ἃ ἐπράξαμεν πονηρὰ, μετανοήσωμεν ἐξ ὅλης τῆς καρ-
δίας, ἵνα σωθῶμεν ὑπὸ τοῦ κυρίου, ἕως ἔχομεν καιρὸν μετανοίας·
μετὰ γὰρ τὸ ἐξελθεῖν ἡμᾶς ἐκ τοῦ κόσμου, οὐκέτι δυνάμεθα ἐκεῖ
ἐξομολογήσασθαι ἢ μετανοεῖν ἔτι. ὥστε, ἀδελφοί, ποιήσαντες τὸ θέ-
λημα τοῦ πατρὸς, καὶ τὴν σάρκα ἁγνὴν τηρήσαντες, καὶ τὰς ἐντο-
λὰς τοῦ κυρίου φυλάξαντες, ληψόμεθα ζωὴν αἰώνιον. λέγει γὰρ
κύριος ἐν τῷ εὐαγγελίῳ, εἰ τὸ μικρὸν οὐκ ἐτηρήσατε, τὸ μέγα
τίς ὑμῖν δώσει; λέγω γὰρ ὑμῖν, ὅτι ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν
πολλῷ πιστός ἐστιν. ἄρα οὖν τοῦτο λέγει, τηρήσατε τὴν σάρκα
ἁγνὴν καὶ τὴν σφραγῖδα ἄσπιλον, ἵνα τὴν αἰώνιον ζωὴν * ἀπο- ἴσ. ἀπολά-
βητε.

S λάβωμεν

λάβωμεν. καὶ μὴ λεγέτω τις ὑμῶν, ὅτι αὕτη ἡ σὰρξ οὐ κρίνεται, οὐδὲ ἀνίσταται. γνῶτε· ἐν τίνι ἐσώθητε, ἐν τίνι ἀνεβλέψατε, εἰ μὴ ἐν τῇ σαρκὶ ταύτῃ ὄντες· δεῖ οὖν ἡμᾶς ὡς ναὸν Θεοῦ φυλάσσειν τὴν σάρκα, ὃν τρόπον γὰρ ἐν τῇ σαρκὶ ἐκλήθητε, καὶ ἐν τῇ σαρκὶ ἐλεύσεσθε. Ὁ Ἰησοῦς Χριστὸς ὁ κύριος, ὁ σώσας ἡμᾶς, ὢν μὲν τὸ πρῶτον πνεῦμα, ἐγένετο σάρξ, καὶ οὕτως ἡμᾶς ἐκάλεσεν, οὕτως καὶ ἡμεῖς ἐν ταύτῃ τῇ σαρκὶ ἀποληψόμεθα τὸν μισθόν. Ἀγαπῶμεν οὖν ἀλλήλους, ὅπως ἔλθωμεν πάντες εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. ἕως ἔχομεν καιρὸν τοῦ ἰαθῆναι, ἐπιδῶμεν ἑαυτοὺς τῷ θεραπεύοντι Θεῷ, ἀντιμισθίαν αὐτῷ διδόντες, ποίαν; τὸ μετανοῆσαι ἐξ εἰλικρινοῦς καρδίας. προγνώστης γάρ ἐστι τῶν πάντων, καὶ

ἴσ. ἐγκάρδια Εἰδὼς ἡμῶν τὰ ἐν * καρδίᾳ. δῶμεν οὖν αὐτῷ * αἰώνιον, μὴ ἀπὸ

ἴσ. αἶνον. στόματος μόνον, ἀλλὰ καὶ ἀπὸ καρδίας, ἵνα ἡμᾶς προσδέξηται ὡς

vel δόξαν αἰώνιον. Θεοῦ υἱούς. καὶ γὰρ εἶπεν ὁ κύριος, ἀδελφοί μου οὗτοί εἰσιν, οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου. Ὥστε, ἀδελφοί μου, ποιήσωμεν τὸ θέλημα τοῦ πατρὸς τοῦ καλέσαντος ἡμᾶς, ἵνα ζήσωμεν. καὶ διώξωμεν μᾶλλον τὴν ἀρετήν, τὴν δὲ κακίαν καταλείψωμεν, ὡς προο-

ἴσ. πημονῶν. δοιπόρον τῶν * ἁμαρτιῶν ἡμῶν. καὶ φύγωμεν τὴν ἀσέβειαν, μὴ ἡμᾶς καταλάβῃ τὰ κακά. ἐὰν γὰρ σπουδάσωμεν ἀγαθοποιεῖν, διώξεται ἡμᾶς εἰρήνη. διὰ ταύτην γὰρ τὴν αἰτίαν οὐκ ἔστιν εὑρεῖν ἄνθρωπον. οἵτινες γὰρ ἄγουσι φόβους ἀνθρωπίνους, προῃρημένοι μα[illegible]ν ἐνθάδε ἀπόλαυσιν, ἢ τὴν μέλλουσαν ἐπαγγελίαν. ἀγνοοῦσι γὰρ ἡλίκην ἔχει βάσανον ἡ ἐνθάδε ἀπόλαυσις, καὶ οἵαν τρυφὴν ἔχει ἡ μέλλουσα ἐπαγγελία. Καὶ εἰ μὲν αὐτοὶ μόνοι ταῦτα ἔπρασσον, ἀνεκτὸν ἦν. νῦν δὲ ἐπιμένουσι κακοδιδασκαλοῦν-

ἴσ. ἀναιτίους τες τὰς * ἀνελίας ψυχάς, οὐκ εἰδότες ὅτι δισσὴν ἕξουσι τὴν

κρίσιν

κρίσιν, αὐτοί τε, καὶ οἱ ἀκούοντες αὐτῶν. Ἡμεῖς οὖν ἐν καθαρᾷ καρδίᾳ δουλεύσωμεν τῷ Θεῷ, καὶ ἐσόμεθα δίκαιοι. ἐὰν δὲ μὴ δουλεύσωμεν, διὰ * τοῦ μὴ πιστεύειν ἡμᾶς τῇ ἐπαγγελίᾳ τοῦ Θεοῦ, ἴσ. τὸ. ταλαίπωροι ἐσόμεθα. λέγει γὰρ ὁ προφητικὸς λόγος, Ταλαίπωροί εἰσιν οἱ δίψυχοι οἱ διστάζοντες τῇ καρδίᾳ, οἱ δὲ λέγοντες, ταῦτα πάλαι ἠκούσαμεν καὶ * ἐπὶ τῶν πατέρων ἡμῶν, ἡμεῖς ἴσ. ἀπὸ. δὲ ἡμέραν ἐξ ἡμέρας προσδεχόμενοι, οὐδὲν τούτων ἑωράκαμεν. Ἀνόητοι συμβάλετε ἑαυτοὺς ξύλῳ, λάβετε ἄμπελον, πρῶτον μὲν φυλλοῤῥοεῖ, εἶτα βλαστὸς γίνεται, μετὰ ταῦτα ὄμφαξ, εἶτα σταφυλὴ παρεστηκυῖα. οὕτως καὶ ὁ λαός μου ἀκαταστασίας καὶ θλίψεις ἔσχεν, ἔπειτα ἀπολήψεται τὰ ἀγαθά. ὥστε, ἀδελφοί μου, μὴ διψυχῶμεν, ἀλλὰ ἐλπίσαντες ὑπομείνωμεν, ἵνα καὶ τὸν μισθὸν κομισώμεθα. πιστὸς γάρ ἐστιν, ὁ ἐπαγγειλάμενος τὰς ἀντιμισθίας ἀποδιδόναι ἑκάστῳ τῶν ἔργων αὐτοῦ. ἐὰν οὖν ποιήσωμεν τὴν δικαιοσύνην ἐναντίον τοῦ Θεοῦ, εἰσήξομεν εἰς τὴν βασιλείαν αὐτοῦ, καὶ ληψόμεθα τὰς ἐπαγγελίας, ἃς οὖς οὐκ ἤκουσεν, οὐδὲ ὀφθαλμὸς ἴδεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. Ἐκδεχώμεθα οὖν καθ' ὥραν τὴν βασιλείαν τοῦ Θεοῦ, ἐν ἀγάπῃ καὶ δικαιοσύνῃ ἐπειδὴ οὐκ οἴδαμεν τὴν ἡμέραν τῆς ἐπιφανείας τοῦ Θεοῦ. *ἐπερωτηθεὶς γὰρ αὐτὸς ὁ κύριος ὑπό τινος, πότε ἥξει αὐτοῦ ἡ βασιλεία, εἶπεν. Ὅταν ἔσται τὰ δύο ἕν, καὶ τὸ ἔξω ὡς τὸ ἔσω, καὶ τὸ ἄρσεν μετὰ τῆς θηλείας, οὔτε ἄρσεν οὔτε θῆλυ. Τὰ δύο δὲ ἕν ἐστιν, ὅταν λα⁓ ⁓μεν αὐτοῖς ἀλήθειαν, καὶ ἐν δυσὶ σώμασιν ἀνυποκρίτως εἴη μία ψυχή. καὶ τὸ ἔξω ὡς τὸ ἔσω, τοῦτο λέγει, τὴν ψυχὴν λέγει τὸ ἔσω, τὸ δὲ ἔξω τὸ σῶμα λέγει· ὃν τρόπον οὖν σου τὸ σῶμα φαίνεται, οὕτως καὶ ἡ ψυχή σου *δῆλος ἔστω ἐν τοῖς καλοῖς ἔργοις. καὶ τὸ ἄρσεν μετὰ τῆς θηλείας, ἄρσεν οὔτε θῆλυ, τοῦτο . . . .

Vide Eva-gel. secundùm Ægypt. apud Cl. Alex. l. 3. Strom.


ἴσ. ἄλλοις, vel ἀλλήλοις.

ἴσ. πρόδηλος.

Παροράματα.

INter testimonia, Origines, lege Origenes. & Originis, l. Origenis. In test. Euseb Ανάγκλητος, l. Αναχλ. & in test. Phot. Πιλιππησίους l. Φιλιπ. Epist ad lect. tenuitata l. tenuitate. Pag. 20. μεγαλορήμονα, l. μεγαλορρήμονα. 22. αὐοιστεῖ l. αὐοίσει, 23. σωσάτο, l. σωσάτω, 24. κατορῶν l. κατηγορῶν. 32. ἔχλινον, l. ἔκκλινον 44. in marg. ἐγκαλείψομεν, l. ἐγκαταλείψομεν. 44 l. 3. ῦ, l. τ. 67. Λαβίδ l. Δαβίδ, 73. δημωνία l. δαιμωνία, 73. μάτηθε l. μάθετε. 74. spiritur, l. spiritus. Inter notas p. 3. ἐνέγκαι l. ἀνέγκαι. Cætera prudens lector facilè animadvertet, & benignè corriget.




SANTIN
Restauro
74

